οὕτος κατὰ μικρὸν ἐπιβάλλεται τοῖς θραύσμασιν ἐν τῇ θυίᾳ. τερεβινθίνην λί(τρας) γ΄. μέλι ἀττικὸν
λί(τρας) ε΄. οἶνον παλαιοῦ τοῦ ἀρκοῦντος εἰς τὸ ἀποβρέξαι τὰ θραύσματα. σκεύαζε καθαρῶς καὶ ποί-

μετρίως ἀναλάμβανων μετὰ τοῦ μέλιτος. *ἀντίδοτος κωλικὴ θαυμαστὴ πρὸς τοὺς ἀλγοῦντας· καὶ πρὸς τοὺς κόπρων ἐμφράξεις. ἐν ταῖς μεγίσταις ἀλγηδόσι.* πεπέρεως λευκοῦ, ὑοσκυάμου ἀνὰ < μ΄. ὀπίου < η΄. κρόκου < ι΄. ναρδοστάχυος, εὐφορβίου, πυρέθρου, ἀνὰ < ϛ΄. μέλιτι ἑφθῷ ἀναλάμβανε. ἡ δόσις κυάμου αἰγυπτίου τὸ μέγεθος. *ἑτέρα κωλικὴ ποιεῖ καὶ ἔξωθεν ἐπιτιθεμένη:—*

*Ἀ*σάρου κόστου, ἀνίσου ἀνὰ < α΄. σελινόσπερμα, < ιβ΄. καστόριον, < γ΄. πετροσελίνου < δ΄. λευκοπεπέρεως, μακροπεπέρεως ἀνὰ < ε΄. σχοίνου ἄνθος, < γ΄. κιννάμωμον, < α΄. ὀπίου < ϛ΄. κρόκου, < γ΄. ἀνάλαμβανε μέλιτι ἑφθῷ. ἡ δόσις, ἐρεβίνθου ποντικοῦ τὸ μέγεθος μεθ᾽ ὕδατος θερμοῦ. *ἀντίδοτος εἰς δυσουρίαν δοθεῖσα* οὐ διαλείπω καὶ τοῖς μὴ δυναμένοις κρατῆσαι τὸ οὖρον. δυσουριῶσιν. πονοῦσι τοὺς λαγόνας, καὶ τοὺς νεφρούς. *σ*ελίνου σπέρματος. ἰοῦ ξυστοῦ. μελανθίου. ὠκίμου σπέρματος. γαγάτου. σινήπεως. ὑοσκυάμου. ζιγγιβέρεως ξηρᾶς. ἀνίσου. πεπέρεως λευκοῦ. νάρδου ἰνδικοῦ. μέλιτος τὸ ἀρκοῦν. ἡ δόσις < α΄. ἑσπέρας καὶ πρωΐ. *ἀντίδοτος νεφριτικοῖς. δυσουρικοῖς καὶ λίθοις.*

*Κ*αλαμίνθης. γλήχωνος. ἀνὰ < ι΄. θύμου. πετροσελίνου. ἀνὰ < ν΄. λιβυστικοῦ < δ΄. νίτρου. ναρδοστάχυος, ἀνὰ < α΄. μέλιτος τὸ ἀρκοῦν. *ἀντίδοτος ποιοῦσα, πρὸς χοιράδας, παρωτίδας.* καὶ παραρεύματα. *ξ*ανθῆς θείας ἀπύρου. καστορίου. πηγάνου ἀγρίου φύλλα. ζαδουάρ. γαλαγγά ἀνὰ < α΄. ἀναλάμβανε μέλιτι. ἡ δόσις < α΄ θερμῷ. ὁ λαμβάνων οἶνον, μὴ πινέτω. χοίρειον ἢ βόειον, μὴ ἐσθιέτω. μηδέ τι τῶν δριμέων. *ἡ διὰ λιθοσπέρμων.* νεφριτικοῖς. λιθιῶσι. δυσουριῶσι. *λ*ιθόσπερμα. βετονίκης σπέρμα. σαξιφράγου ῥίζαν. πετροσελίνου σπέρμα. πεπέρι λευκόν, ἴσα. ἀναλάμβανε μέλιτι. *ἀντίδοτος ἡ Περίκλου.* ποδαγρική. ἰωμένη ποδῶν πόνον. ἰσχίων, ἄρθρων. κεφαλῆς. στομάχου. ὀφθαλμῶν. δυσουρίας, τύλους παγούλας ἐν ἄρθρεσι λύει. πόνον σπληνός. ἥπατος καὶ νεφρῶν. *ῥ*έου ποντικοῦ. ἀγρίου. ἀριστολοχίας, ἀνὰ οὐγγ. β΄. φοῦ οὐγγ. γ΄. πετροσελίνου μαίου. ἀνὰ οὐγγ. δ΄. ...ικοῦ οὐγγ. ε΄. γεντιανῆς οὐγγ. ϛ΄. κενταυρείου οὐγγ. η΄. χαμαίδρυος οὐγγ. θ΄. ἡ δόσις ἀνδρὶ γράμματα β΄. γυναικὶ δὲ ἕν. ταῦτα κόψας σῆθε καὶ βαλὼν εἰς βυκίον, χρῶ ὡς ὁριζόμεθα. μηνὶ ἰανουαρίῳ. φεβρουαρίῳ. μαρτίῳ. λάμβανε μίαν παρὰ μίαν. ἀπριλλίῳ. σεπτεμβρίῳ ὀκτωβρίῳ νοεμβρίῳ, διὰ τρίτης μίαν. ἡ δὲ δίαιτα, εὔχυμος καὶ ἄπεπτος, νίπτε δὲ τοὺς πόδας, θερμῷ ὕδατι. ἢ ἐλαίῳ ἄλειφε. *ἡ διὰ παιωνίας. ὠφελεῖ πρὸς* τοὺς ἀπὸ κεφαλῆς καταρρόους. ἢ βῆχας. πύου ἀναγωγάς. φθισικοῖς. περιπνευμονικοῖς. πλευριτικοῖς. παραδόξως γὰρ τὸν θώρακα ἀκινδύνως ἐξάγει ἀπὸ καταρρόου καὶ ἑλκώσεως. κἂν αἷμα ἀνάγῃ. ἡ δόσις κεράτια γ΄ ἐν ὕδατι θερμῷ νήστει. μετὰ πολλὰ δὲ καὶ εἰς κοίτην. ἐπὶ δὲ τῶν σπασμῶν ἀνάγουσι ἐσθίοντες μέλιτι, δίδου ἀναγαργαρίζεσθαι σιωπῶς καὶ πρὸ διάχειε μετὰ μέλιτος, δίδοται κωλικοῖς. νεφριτικοῖς. δυσουριῶσι δι᾽ ἔμφραξιν. μετὰ λίνου τῶν διουρητικῶν. οἷον τεταρταίων. ἀφημερινῶν. πρὸ δύο ὡρῶν. τῆς ἐπισημασίας μετὰ εὐκράτου. καὶ μεγάλως ὀνινίστεται ἕως ἐν τοῖς οὔροις φανέσης. δίδοται καὶ πρὸς πάντα τὰ λοιμικά. καὶ πρὸς τὰ ἐπιδημα νοσήματα, ἐκ τῆς κακίας τοῦ ἀέρος γινόμενα ἐν ταῖς ἀρχαῖς. χρεῖν προφυλακῆς. ἔστι δὲ καὶ ὑπνοποιός. *ἄ*μωμον. κρόκον. ναρδοστάχυ. κόστον. ὀπίου. κασίαν. λίβανον ἀνὰ οὐγγ. α΄. παιωνίας ῥίζαν καὶ σπέρμα. κοινοπέπερι. ἔτεον. ὑοσκύαμος. σμύρναν. πύρεθρον. ἀνὰ γ΄ η΄. μακροπέπερι. λευκοπέπερι. φύλλον. εὐφόρβιον.

καρδαμώμου

σπέρμα ἀψινθίας· κόστου· ἀσάρου· σαχος· ἀκόρου· κασσίας ἀνὰ < γ· καρόπου καρυοφύλλου·
μαστίχης· ναρδοσταχύος· ἀμώμου· ἀνὰ < α ς´· κόψας αὐτά, θὲς εἰς ὕδωρ θερμὸν λί ι· καὶ ἄφες ἡμερο-
νύκτιον· εἶτα βράσας μέχρις ἂν φύρασαι τὰ δύο μέρη· συρώσας, θὲς σάκχαρ λί α καὶ ἔψησε
μέχρις ἂν ἐκλείπη τὸ ὕδωρ· ἡ πόσις οὐγ β· ῥοδόμελι καθαρτικόν· ὠφελεῖ εἰς τεταρταίους καὶ εἰς πολλά.

Λαβὼν χυλὸν ῥόδων λί α· σκαμμωνίας ὀπτῆς· οὐγ α· σπέρμα σελίνου· μαράθρου· ἀνίσου· βασιλικοῦ·
ἔψε ὁμοῦ πάντα· ἡ πόσις κοχλιάριον α ἢ οὐγ α ς´· ὀξύμελι ὠφελοῦν εἰς ἥπατος ἀπόφραξιν καὶ φλέγμα.

Λαβὼν ῥίζας σελίνου· μαράθρου· ἀσπαράγου· ἀνθεμίδος ἀνὰ οὐγ α· σπέρμα σελίνου· μαρά-
θρου· ἀνίσου· βασιλικοῦ· σπέρμα ἀψινθίας· ῥέου· βαρβάρου· ἀνὰ < δ· ἀνθος ἀ-
γρίου· σπαθόσιον· κασσίας· ἀριστολοχίας μακρᾶς· ἀκόρου· σαχος· κοστίου· μαστίχης ἀνὰ < α ς´· ῥι-
ζῶν τὸν φλοιὸν ἐπιλαβὼν καλῶς, κοπανίσας καὶ τὰ ἄλλα εἴδη κόψας, καὶ λαβὼν ὕδωρ θερμὸν λί τε,
ς´, ἔπιχε ἐπάνω τῶν ῥιζῶν καὶ τῶν εἰδῶν, καὶ ἄφες αὐτὰ ἡμερονύκτιον βρέχεσθαι· εἶτα ἔψε
μέχρις ἐκλείπη τὸ δίμοιρον τοῦ ὕδατος· καὶ συρώσας αὐτὰ μετὰ πόνου, θὲς ὄξος ἴσον ὑπὲρ τὸ
ὕδωρ· ὁμοίως καὶ μέλι ἴσον τῶν β· καὶ βράσον ἐπὶ μαλθακοῦ πυρὸς μέχρις ἂν φύραση τὸ ὕδωρ καὶ
τὸ ὄξος καὶ καταβιβάσας, ἀπόθου ἐν ἀγγείῳ καὶ χρῶ· ἡ πόσις οὐγ β· ζουλάπιον ὠφελοῦν πρὸς
τὰ ἐντὸς ῥεύματα· πυρετοὺς ἐρυθροὺς ἀπὸ αἵματος καὶ ἀπὸ στομάχου καὶ στενωχωρίαν κοιλίας.

Λαβὼν ῥόδια ὑπόξινα ὥριμα, ἀπόθλιψον τῶν αὐτῶν κόκκοις καὶ λαβὲ τοῦ χυλοῦ καὶ ἔψε μετὰ
βάμβαξ σάκχαρ μέχρις ἂν ἔλθη εἰς σύστασιν· ἡ πόσις οὐγ β· ζουλάπιον ὠφελοῦν εἰς θερμὰς
μετὰ χολῆς στομάχου καὶ ἥπατος δίδοται οὐγ β· μετὰ ψυχροῦ ὕδατος.

Λαβὼν ῥοδίων δριμέων καὶ γλυκέων τὸν χυλὸν· ἕνωσον μετὰ ἴσου μέλιτος· καὶ ἔψε ἐξαφρίζων ἕ-
χρις ἂν ἔλθη εἰς σύστασιν καὶ χρῶ· ἀπόζεμα ὠφελοῦν εἰς μελαγχολίαν καὶ ὑγρὸν καὶ λεπτὴν
ξανθὴν χολὴν παχεῖαν καὶ λεπτήν· ἀπὸ φωνῆς λέοντος ἰατροῦ.

Λαβὼν σαχος· ῥόδα ἀνὰ οὐγ α· κρόκου < α· φλοιοὺς ῥιζῶν σελίνου· καὶ μαράθρου· καὶ τὰ
σπέρματα αὐτῶν ἀνὰ οὐγ α· ὄξος ποτήριον α· κνίκου· χελεβόλαν α· ὁμοίως καὶ βούγλωσσον
ἄλσους· μέλι ποτήριον α· ἕψησας τὰ εἴδη καὶ τὰ σπέρματα μετὰ ὕδατος μέχρις ἂν ἐναποληφθῇ
τὸ δύο· συρώσας, ἐπίθες τὸ μέλι· τὸ ὄξος· καὶ τὸν κρόκον· καὶ ἔψε μέχρι συστάσεως μέλιτος.
ἡ δόσις ποτήριον α πρωῒ μετὰ ὕδατος ψυχροῦ ἢ θερμοῦ· ἄλλο ἀπόζεμα καθαρτικὸν φλέ-
γματος· ξανθῆς χολῆς καὶ μελαίνης· ποιοῦν τὰς κοιλίας οὗτος ἐν τῇ κεφαλῇ· ὠφελεῖ καὶ εἰς πάθον
καταστάσεων ἐγκεφάλου καὶ στομάχου· ἀπὸ φωνῆς λέοντος ἰατροῦ· Λαβὼν σάκχαρ ῥουμάνια
β· ῥόδα· χελεβόλαν α· σαχος ῥουμάνια οὐγ α· κρόκου οὐγ α· σπέρμα κισσῆς· σελίνου καὶ μαράθρου
ἀνὰ οὐγ β· μάννα· οὐγ β· οὐκ εἰς πᾶσαν τὸ μάννα· ἀλλ' εἰς τοὺς ἔχοντας σῶμα ξηρὸν· ὕδωρ
καθαρὸν α καὶ ὄξος οὐγ η ἢ ς´· ἔσω τὸ ὄξος, μήτε πάνυ γλυκύ, μήτε ὀξῶδες· ἀλλὰ μέσον·
λαβὼν δὲ ταύτας τὰς ῥίζας· τὸ σαχος, τὰ ῥόδα· καὶ τὰ σπέρματα θὲς εἰς γαβάθαν καὶ κόψον μετὰ
ὕδατος, ἔψε μέχρις ἂν παχυνθῇ τὸ ὕδωρ· καὶ συρώσας, θὲς καὶ σάκχαρ· τὸν κρόκον· καὶ τὸ ὄξος·
καὶ ἀφριάσας, ἔψε μέχρι συστάσεως ζουλαπίου, καὶ ἀναλύσας, θὲς εἰς ἀγγεῖον ὑέλινον· ἡ δόσις κα-
τὰ πρωῒ οὐγ α μετὰ ὕδατος χλιαροῦ, ἢ ψυχροῦ· ἕτερον ἀπόζεμα πεπειραμένον, εἰς πᾶσαν νόσον καὶ
ἀπὸ φωνῆς τοῦ ἀληθοῦς· Λαβὼν φλοιοὺς ἰσάτιδος· σελίνου· πετροσελίνου· ἀσπαράγου ῥάχισμα

ῥοδόμελι καθαρτικόν

ἢ ὀξυμυρσίνης· σκολοπενδρ· καὶ καπάρεως· πολυποδίου· ἄνθη βουγλώσσου· καὶ τὰς ῥίζας· κνίζας ἀπὸ
νάρδου φύλλ. ἰνδικ. νούφαρα· φύλλ. ῥόδων ἰα· ἀνὰ οὐγγ. δ· μυξάρια· σταφίδας· ἀνὰ οὐγγ. ς· καὶ ἐκ τοῦ
σπέρμα κιτρ. κολοκυνθ. πέπονος ἀνὰ δραχ. β· σὺν ἐπιθύμου· πεσσουρ. ἄνθη τοῦ
γλυκανίσου σχίνου ἄνθος ἀνίσου γλυκύρριζαν ζοῦφα ἀνὰ δραχ. γ· καὶ [illegible] ἀλθαίας ἀνὰ οὐγγ. α· ἐπίθες ταῦτα εἰς ὕδατος ἀρκετοῦ μέχρις ἀποζέσωσι· λαβὲ φλοιοὺς
τῶν ε μυροβαλάνων ἀνὰ δραχ. β· καὶ τουρπεθ. λίθου τοῦ λαζουρίου ἀνὰ χαρούβας γ· θὲς ἀπὸ
τοῦ συρωθέντος ὕδατος εἰς αὐτὰ ἀφέψημα· ὀξυσάκχαρον τὰς ποτὸν· καὶ ἔασον [illegible] α· εἶτα
συρώσας, θὲς εἰς τὸ συρωθὲν [illegible] ὀξυφοινίκων· καλαμοῦ ἰνδικοῦ τοῦ ἐντὸς· ἀνὰ δραχ.
γ· καὶ μαλάξας, συρώσας ἐν δελτίῳ· καὶ τότε θὲς ῥέον βάρβαρον κεκομμένον καὶ σκοπήσας
β· τὸ σάκχαρ οὐγγ. β· ζουλάπιον τῶν ῥόδων οὐγγ. α· καὶ [illegible] λαμβανέτω· εἰ δὲ ξηρὸν θέλεις,
προσθὲς πολυπόδου οὐγγ. α· καὶ παραυτίκα ἡ βοήθεια. ζουλάπιον τὸ διὰ κασκουτίων κινοῦν τὸ φλοῖον
καὶ καταπέψαν· Λαβὼν δαμασκηνὰ χλωρὰ ὅσα βούλει· βράσον αὐτὰ μετὰ ὕδατος· ἄχρις ἂν
διαλυθῶσι καὶ συρώσας μετὰ πανίου, ἔχε· εἶτα λαβὼν σάκχαρ ὅσον θέλεις· ἐπίθες τὸ κακκά-
βιν νέον· καλοῦ γεγανωμένου· ἐπίχεε ἐπάνω αὐτοῦ ὕδωρ ἄχρις ἂν σκεπάσῃς αὐτό· καὶ ἐψῶν
ἀφρίζε· προστίθεις κατὰ μικρὸν ὕδωρ· καὶ ὅτε καθαρισθῇ τὸ σάκχαρ, ἐπίθες ἄλλο τὸ δοῦλον ἀπὸ
τοῦ ζωμοῦ τῶν δαμασκηνῶν· καὶ ἕψε ἕως οὗ πληρωθῇ· καὶ ἂν χλωμῇ, φύλαττε· ἡ πόσις οὐγγ. β ἢ γ·
καὶ ἡ βοήθεια παραυτίκα: ζουλάπιον λεγόμενον σεκκηνιστὶ [illegible]: Ῥίζας μαράθρου· σελί-
νου· βρωσίμου ἀνὰ οὐγγ. α· καππάρεως ἐξ ἧς φλοιοῦ· οὐγγ. η· λαπάθου ῥίζαν δραχ. ε· σπέρμα
μαράθρου· ἀνίσου· σελίνου· ἀνὰ οὐγγ. α· κινναμώμου οὐγγ. γ· ἄσαρ δραχ. β· γαλαγγάν· ζιγγιβ.
ἀνὰ δραχ. γ· μακροπίπερ· κοινοπίπερ· ἀνὰ δραχ. β· κάρυα μυριστικὰ· καρυόφυλλα· καρδάμωμον
ἀνὰ δραχ. α· ζοῦφα· ἀψίνθιον ἀνὰ δραχ. α· κόστου ἀριστολοχίας· σχίνου ἄνθος· καὶ ῥίζαν μαστίχ. ἀνὰ δραχ. α·
ἀπόβρεξον αὐτὰ εἰς ὄξος δριμύτατον. ἐφ' ἡμέρας ι· εἶτα ζέσας τὰς ῥίζας καλῶς
διὰ τῶν χειρῶν καὶ μαλάξας διύλισον· καὶ θὲς σάκχαρ λι. ι· καὶ ποίησον ζουλάπιον ἀπὸ ῥιζῶν μήλου-
κού τοῦ ὡσαύτως· τοῦτο δὲ μίξει καὶ τῷ χρόνου [illegible], ἔπραυνε τὸ ἄλλο ζουλάπιον· ζουλάπιον εἰς βηχικοὺς καὶ [illegible]·
Λαβὼν γλυκύρριζαν δραχ. η· ῥίζας μαράθρου· σελίνου· πολυποδίου· ζοῦφα ἀνὰ δραχ. ι· σπέρμα
μαράθρου καὶ ἀνίσου ἀνὰ δραχ. ε· σπέρμα μαλάχης σικύου· πέπονος· βαλαυστίου· λουβάν ἀνὰ
δραχ. γ· ζίζιφα· μυξάρια ἀνὰ με· σταφίδας κεκαθαρισμένας οὐγγ. β· σελὰ λουκὲ οὐγγ. α· ταῦτα πάντα
ὁμοῦ ἀποβρέξας εὐχυλότερον εἰς ὕδωρ ῥοῦλα ι· ἕψησον μέχρις ἂν ἐναπολειφθῇ
τὸ ἥμισυ· εἶτα μαλάξας καὶ συρώσας, θὲς εἰς τὸ συρωθὲν ὕδωρ, σάκχαρ ῥοῦλου χαβ· καὶ ἕψε με-
χρὶ συστάσεως· ἡ πόσις οὐγγ. α· ἢ καὶ β· κρεῖττον δὲ γίνεται μετὰ πενιδίων κυρομένον καλῶς· ζουλάπιον τῶν
λιμονίων· ὠφελεῖ νόσους [illegible] εἰς τὸ καταπαύειν τὰς ἀναθυμιάσεις τῆς ξανθῆς χολῆς· καὶ τὸ
ζέον τῆς σφοδρᾶς πυρετοῦ· εὐδίως παύει τὸ στόμαχον ἀπὸ κακοχυμίας καὶ ὄρεξιν ποιεῖ-
ται προσφορεῖν· Λαβὼν ἐκ τῶν σάκχαρ καλλ. λευκ. ῥούτουλα γ· ἀφρίσον μετὰ λευκοῦ
τοῦ ᾠοῦ ἄχρις ἂν καθαρισθῇ· εἶτα λαβὼν λίμονας καλοὺς πληρεστάτους, καὶ [illegible] καὶ σήπον
τὰς ἄκρας διὰ τὸ πικρότητα τὸ φλοιῶν αὐτῶν· καὶ ἐκθλίψας, ἔασον καταστῆναι· καὶ συρώσας μετὰ
πανίου· καὶ θὲς ἀπὸ τοῦ συρωθέντος ζωμοῦ εἰς τὸ σάκχαρ, ῥοῦλου α· καὶ ἕψε [illegible]

περὶ μέχρι συστάσεως ζουλάπιον περιστερᾶς ἀκριβῶς μετὰ πάσης κατεψυγμένης. ἡ δόσις οὐγγία α΄ μεθ᾽ ὕδατος
ψυχροῦ ὀλίγου· πολλάκις δὲ καὶ ἄνευ ὕδατος· ζουλάπιον εἰς βραχνίασιν φωνῆς. Λαβὼν σμύρ-
νην, λίβανον, χυλὸν γλυκυρρίζης, ἀνὰ ℥ ή· σμύρναν, ἄμωμον, κρόκον ἀνὰ ℥ δ΄. τραγά-
κανθαν ℥ ϛ΄ σάκχαρ ℥ λ΄. κόψας σήσας, φύρασον μετὰ μέλιτος ἀττικοῦ. ἡ δόσις ϛ΄ β΄ πρωῒ καὶ ἀφ᾽ ἑσπέρας.
αὕτη ἡ δύναμις παρὰ διαθέσεις τὰς αἰσθητικὰς ἐστὶ καὶ ὀργὰν διὰ τὸ πεπτικὰ καὶ
παρηγορικὰ καὶ συμφοροῦντα καὶ ῥυπτοῦντα. ὁ μὲν γὰρ λίβανος καὶ ἡ σμύρνα καὶ ὁ κρόκος, τῶν πεπτόντων
τὰς διαθέσεις εἰσίν. ὁ δὲ τῆς γλυκυρρίζης χυλὸς τῶν λεαινόντων καὶ πραϋνόντων τὴν τραχύ-
τητα. ὥσπερ καὶ ὁ βαλαυστίων. τὸ δὲ ἄμωμον ἰσχυρῶς ξηραίνει μετρίου καὶ βραχεῖ τινι συνεπι-
σχύει. τὸ δὲ μέλι τῶν θερμαινόντων ἐστὶ καὶ ῥυπτόντων δυνάμει. ἀνδροπαχίου ἐστὶν αὕτη
ἡ σύνθεσις. ὀρτηριακὴ πρὸς ἀποκοπὴν φωνῆς· Λαβὼν ζίζιφα, μυξάρια, σταφίδας, γλυκύρ-
ριζαν, ὕσσωπον μεθ᾽ ὕδατος καὶ δὸς πιεῖν κατὰ τὸ θῶ φύλλον· εἰς οἴδημα ὅπου ἐστὶν ἐν ὅλῳ βραχί-
ονι καὶ παντὶ μέλει. Λαβὼν τὰ σῦκα θέσα ἢ ξηρὰ ὀξέα βοῦ ἀποπαύνισε, ἕψησον μετὰ ξυλάλο-
ης ἴσον· καὶ ἔπειτα μαλθακοῦ πῦρος καὶ καταβαλόντος, ἕασον ψυχθῆναι ὀλίγον· καὶ θὲς
ἐν τῷ οἰδήματι ἐν μέλιτι α΄. καὶ θαυμάσεις θεοῦ θέλοντος: αὐλίσδιλος παῦλον· ποιοῦσι πρὸς
ῥῆξιν καὶ φωνῆς ἀποκοπὴν· δύσπνοιαν τε καὶ πρὸς ἀναφορικοὺς· δυσκολιῶντας· στομαχικοὺς· κωλικοὺς·
στροφικοὺς· πνευμονικοὺς· κοιλιακούς· Λαβὼν κάγμον, ἄμωμον, φύλλων ἰνδικοῦ ἀνὰ γρ. α΄.
χρυσάνθου· χυλ. ὑποκυστίδος· κόστου· ῥόδα ξηρὰ ἀνὰ οὐγγ. α΄· πύρεθρον· λίβανον· κασ-
τόριον· εὐφόρβιον· μαραθρόσπερμα· ῥοῦς συριακοῦ· ἀνηθόσπερμα· σέλινον· καρδάμωμον·
ἀνὰ οὐγγ. η΄. κιννάμωμον· πετροσέλινον· ναρδόσταχυν· ἴριν· ὄπιον· πέπερι ἀνὰ ϛ΄ β΄.
βάλσαμον οὐγγ. β΄. μέλιτος τὸ ἀρκοῦν. ἡ δόσις ἑσπέρας καὶ πρωῒ καρύου α΄. σκευασία τῶν ῥοδελαίων:
Λαβὼν φύλλα μέσα ῥόδων ἐρυθρῶν οὐγγ. γ΄. ψῆξον αὐτὰ νυχθήμερον· καὶ βάλε εἰς ὄστρακον νέον, θὲς
ἐπάνω ἐλαίου καθαροῦ λίτρας α΄ ἥμισυ· καὶ πωμάσας καλῶς, τοῦ μὴ ἀναπνεῖν, ἡλίαζε ἡμέρας μ΄. καὶ
οὕτως ἀπόθου ἐν ὑελίνῳ ἀγγείῳ ἐπιβαλὼν τὸ δὲ καὶ μὴ ἐπιδάφους: σκευασία τοῦ χαμαιμηλελαίου:
Λαβὼν χαμαιμήλου πεπτοῦ ἀνθοῦ, οὐγγ. β΄. ἐλαίου γλυκέος λίτρας α΄ ἥμισυ. βαλὼν εἰς ἀγγεῖον· καὶ πω-
μάσας καλῶς, ἡλίαζε ἡμέρας μ΄. ἤγουν ἕως θέρους ἢ τὰ ἄνθη ἐμβαλὼν θέρμον. θερμαίνει δὲ καὶ ξηραί-
νει· διὸ ἁρμόζει πρὸς ἀτελεῖς καὶ τόπους θώρακος καὶ τῶν ἄλλων μερῶν τοῦ σώματος τῶν θερ-
μῆς δεομένων: σκευασία τοῦ πηγανελαίου· θερμαίνει, καὶ ξηραίνει· καὶ ἁρμόζει ἐπὶ τὰ αὐτὰ
τῷ προτέρῳ. Λαβὼν κόμην πηγάνου· ἤτοι φύλλα, ψῆξον νυχθήμερον οὐγγ. α΄. ἐλαίου γλυ-
κέος λίτρας α΄ ἥμισυ. ἡλίαζε ὥσπερ τὸ ἀνηθέλαιον· σκευασία τοῦ δαφνελαίου· Λαβὼν ἐλαίου παλαιοῦ,
λίτρας ϛ΄ ἥμισυ. δάφνης καρποῦ πεπείρου λίτρας ἥμισυ. μέλιτος καὶ ἀλήλεσον, ἐκθερίνει τὸ ἔλαιον· τινὲς
δὲ θλάσαντες ἀνηθοῦσι τὰς δαφνίδας, καὶ ἐκκρίνουσι τὸ ἔλαιον. ἔστι δὲ καὶ τοῦτο μεμονωμένον· θερμ-
αίνει καὶ μαλακτικόν ὡς καὶ χρώμενον ἐν βαλανείῳ, θεραπεύει ψώρας καὶ λειχῆνας τὰς ἀπὸ τε-
ξεως γινομένας. ὠφελεῖ δὲ καὶ τοὺς ὑπὸ ψύξεως ἐνοχλουμένους τὰ ἄρθρα· ἰσχιαδικοὺς· ἀνυπερτ καὶ σκω-
ληκας καὶ φθεῖρας· πίτυρα κεφαλῆς· ὀφιάσεις τε καὶ ἀλωπεκίας. χρώμενον ἐν λουτρῷ· καὶ ἀπο-
σμηχόμενον ᾠῷ μετὰ, καὶ ἡλίου ἀέρα· παραφυλάττειν δὲ τὴν θερμὴν κεφαλὴν προσάπτεσθαι:
σκευασία τοῦ ἀμυγδαλίνου ἐλαίου. ὠφελεῖ πρὸς φλεγμονὰς καὶ παρέγκλισιν μήτρας εἰ-

χυματιζομένοις. πρὸς ὑστερικὰς πνίξεις. κεφαλαλγίας ἀλειφομένης τῆς κεφαλῆς. πρὸς ὤτων πόνους, ἤχους. σύριγ-
γας ἐνσταζόμενον. ὠφελεῖ δὲ νεφριτικούς. δυσουριῶντας. λιθιῶντας. [illegible]. ἀσθματικούς. φθισι-
κοὺς καταρροφούμενον [illegible]. ὠφελεῖ δὲ [illegible] προσώπου. ἐφήλεις ῥυτίδας. μίγνυται συμμέτρως
μετὰ κηροῦ [illegible] ὀδύνας ὡς κηρωτή. ἀμβλυωπίας τε ἔστιν [illegible]. [illegible] δὲ
[illegible] σκευάζεται δὲ οὕτως. ἀμυγδάλων πικρῶν [illegible]
[illegible] ἐπιρραινομένου ἐπάλληλον ὕδατος θερμοῦ βρέχε. καὶ ἀποπιεζομένων, ἐκκρίνεται τὸ ἔλαιον.

Σκευασία μυρσινελαίου: Λαβὲ φύλλα μυρσίνης [illegible] οὐγγ. α. κόψας καλῶς, θὲς εἰς ἀγγεῖον.
καὶ ἐπίβαλε ἐλαίου ὀμφακίνου λίτρας [illegible]. καὶ πωμάσας καλῶς, ἡλίαζε ἡμέρας μ. τοῦτο στύφει. καὶ κε-
φαλαλγίας [illegible]. καὶ ἀθρόως ἱδρῶντας παύει: **Σκευασία [illegible]:** Λαβὲ ἴα πορφυρᾶ
οὐγγ. β. ἐλαίου καθαροῦ λίτρας γ. [illegible] καὶ πωμάσας καλῶς, ἡλίαζε. ψύχει γὰρ καὶ
στύφει. καὶ εὐωδιάζει:—

[illegible] Περὶ ἰκτέρου

Παρῆκται τὸ ὄνομα τοῦ ἰκτέρου, ἀπὸ τῆς [illegible] χρυσοειδοῦς καὶ κροκοειδοῦς [illegible] ἡ καλουμένη
[illegible] ἐν ἐρήμοις, ὥρᾳ θέρους. ἔστι δὲ ὁ ἴκτερος, ἐπιρροὴ ξανθῆς χολῆς μετὰ αἵματος διατρέ-
χουσα ἐν παντὶ τῷ σώματι. καὶ διαχεομένη εἰς τὴν ἐπιφάνειαν. καὶ ἡ γένεσις αὐτοῦ ποτὲ μέν, ἐκ προ-
καταρκτικῆς αἰτίας συμβαινούσης ἀπὸ τοῦ ἥπατος. ποτὲ δὲ ἐκ προηγουμένης αἰτίας συμβαινούσης ἀπὸ τοῦ
σπληνός. καὶ ἡ μὲν ἀπὸ τοῦ ἥπατος προκαταρκτική, ὑπάρχει ἡ φαινομένη ἐν τοῖς σώμασιν. [illegible]
[illegible] ἔστι δὲ καὶ ἡ πόσις τῶν [illegible]. [illegible] συνεχὴς μετάληψις τῶν θερ-
μῶν βρωμάτων καὶ πομάτων ἅτινα [illegible] ἔχουσι τοῦ ἐξάπτειν τὸ αἷμα καὶ πυροῦν. καὶ
ποιοῦν αὐτὸ χολῶδες. σημειωτέον δὲ τοῦτο [illegible] τοῦ ἀρρώστου καὶ τῆς κρίσεως τοῦ [illegible]
ἀπὸ τοῦ ἥπατος [illegible] αἰτία. [illegible] εἰς ἤδη [illegible] καὶ [illegible] πρῶτον μόνον, ὅτι
νικᾷ ἡ φύσις [illegible] καὶ ἀποσπᾶσαι εἰς τὴν ἐπιφάνειαν, γίνεται
ὁ ἴκτερος. ὥσπερ ἐν τοῖς ὀξέσι πυρετοῖς. καὶ δηλοῖ ἀνάρρωσιν καὶ λύτρωσιν τοῦ ἀρρώστου, εἰ μὴ ἄ-
ρα γένοιτο τοῦτο πρὸ τῆς ἑβδόμης ἡμέρας. σημαίνει γὰρ ὅτι ὁ ἴκτερος οὗτος, οὐκ ἐγένετο ἀπὸ τῆς
ἐνεργείας τῆς φύσεως. ἀλλ᾽ ἀπὸ τῆς ὀξύτητος τῆς νόσου. ἡττᾶται γὰρ ἡ φύσις καὶ ἀναγκάζεται [illegible]
τὰ κρίσιμα σημεῖα παρασχεῖν. καὶ διὰ τοῦτο φησὶν Ἱπποκράτης, ἴκτερος πρὸ τῆς ἑβδόμης, [illegible]
[illegible] ἐπίφοβον [illegible]. ἐν δὲ τῇ ἑβδόμῃ φαινόμενος, ἔστι σωτήριον. γίνεται δὲ ποτὲ
ὁ ἴκτερος καὶ ἐξ ἄλλων αἰτιῶν χωρὶς τῶν ῥηθέντων [illegible] ἡ κρᾶσις τοῦ
ἥπατος. [illegible] τῶν παθῶν ὧν ἐμνημονεύσαμεν. [illegible] ἀδυνατεῖ γὰρ ἡ φυσικὴ
ἀρρωστία αὐτοῦ ἀποδιακρῖναι τὰ [illegible] καὶ ἀποπέμπειν τὸ χολῶδες
μέρος εἰς τὴν χολώδη κύστιν. τὸ διαχωρισθὲν [illegible] αἵματος. τότε γὰρ [illegible] ἡ χολὴ ἐν
τῷ ἥπατι καὶ [illegible] ἐν τῷ αἵματι. καὶ βλάπτει αὐτό. καὶ ποιεῖ αὐτὸ χολῶδες. εἰς δὲ τὸ εἶδος τοῦ
ἰκτέρου τούτου, [illegible] αἴτια σημαίνουσαι τὴν ἀλλοίωσιν τῆς φυσικῆς ἐνεργείας. οἱ
[illegible] σαρκός. πόνος. βάρος εἰς τὸ δεξιὸν μέρος. [illegible] συμβαίνει [illegible]
[illegible] τῆς χολῆς, βλάβη [illegible] καὶ οὐ [illegible] τὴν ξαν-
θὴν χολήν. καὶ [illegible] ἐν τῷ ἥπατι, βλάπτει τὸ αἷμα. ἢ συμβαίνει τῇ χολῇ ἔμφρα-
ξις [illegible] ἀποκλείοντος. τὴν διέξοδον [illegible] εἰς τὸ θυλάκιον τῆς χολῆς.

καὶ ἀνθυποστρέφεται εἰς τὸ ἧπαρ· καὶ διασπείρεται μετὰ τοῦ αἵματος ἐν ὅλῳ τῷ σώματι, καὶ
ἀηδίαν ποιεῖ. ὁπηνίκα γὰρ ἐμφραχθῶσιν αἱ κάτω διέξοδοι τῆς χολῆς, ἀναφέρεται εἰς τὸ ἄνω ὁδ'
τὸ ἀφικνούμενον ἐν τῷ στομάχῳ· καὶ ποιεῖ τὴν ὄψιν ὠχράν· καὶ πλεονάζει ἡ θέρμη αὐτῆς εἰς τὰ
μέσα τοῦ σώματος· καὶ δύναται ξηρότητα θέρμην ποιῆσαι καὶ δίψαν· ἡ δὲ ὄψις τοῦ οὔρου καὶ τοῦ δια-
χωρήματος, λευκή, διὰ τὸ ὑστερεῖσθαι βάπτεσθαι ἀπὸ τῆς χολῆς. εἰ δὲ ἔξω ἡ ἔμφραξις ἐστὶ
ἀνωδέβον τὰ ἄπεπτα ὄντα ἐν τῷ στομάχῳ, πληθύνει ἡ ἐπιρροὴ τῆς χολῆς εἰς τὰ ἔντερα· καὶ
βάπτει τὸ οὖρον καὶ τὰ διαχωρήματα· καὶ ποιεῖ τὸ οὖρον ὥσπερ ἔχον πολλὴν ἐρυθρὰν ἢ κιννά-
βαρι, καὶ ἐπάνω ἀφροὺς σφόδρα κιρρίνους. καλεῖται δὲ πολλάκις καὶ ἡ φύσις τὸ πλεῖστον
δὲ γίνεται ἴκτερος, ὅτε παρέλθῃ αἰφνιδίως ἡ χολή· οὐ μέντοι βλάπτεται ἐκ τούτου τὸ σῶμα
οὐδὲ ἐμποδίζεται εἰς τὰς εὐρείας ἀπὸ τοῦ ἥπατος· γίνεται δὲ πολλάκις ἴκτερος, ὁπηνίκα παχύ-
νωσιν αἱ φλέβες, ἀπὸ δυσκρασίας θερμῆς· ἔξω τῆς τάξεως τῆς ἐμφύτου θερμότητος· ποιεῖται
γὰρ τὸ ἐρχόμενον αἷμα ἀπὸ τοῦ ἥπατος εἰς τὰς φλέβας· καὶ ἐξάπτεται καὶ μεταβάλλεται εἰς χολώδη
δύσκρασιν· καὶ γίνεται ἴκτερος κατασκληρός. πολλάκις δὲ γίνεται ἴκτερος μέλας· καὶ βάπτονται
μελανοῦσιν οἱ ὀφθαλμοί· καὶ ἅπαν τὸ σῶμα· καὶ ἡ αἰτία τούτου γίνεται, ἐξ ἀσθενείας τοῦ σπληνὸς
καὶ τῆς ἑλκτικῆς αὐτοῦ δυνάμεως, ὁπηνίκα οὐκ ἰσχύει ἕλκειν τὰ ῥύπα τοῦ αἵματος· καὶ
τὸ θρομβῶδες αὐτοῦ· καὶ ἀπομένει ἐσφηνωμένον ἢ ἀποκεκλεισμένον εἰς τὸ ἧπαρ· καὶ ποιεῖ ἔχ-
ειν τῷ πάσχοντι μελανότητα καὶ σκοτεῖ: ὁπηνίκα οὖν ἴδομεν ἰκτεριῶντα· καὶ γνῶμεν τὰ
αἴτια διὰ τῶν προλεχθέντων σημείων, εἰδῶμεν ὅτι μὲν πυρετὸς ἐστὶν ἢ οὔ. εἴπερ οὖν πυρέττει
ὁ νοσῶν· καὶ πρὸ τῆς ἑβδόμης ἡμέρας ἐφάνη ὁ ἴκτερος πρὸ τῆς φανερώσεως τῆς πέψεως
τοῦ νοσήματος, ὑπάρχει πονηρὸν σφόδρα· καὶ οὐκ ἔξεστι φροντίζειν τὰ περὶ τὴν θεραπείαν αὐτοῦ·
εἰ δὲ φανῇ ὁ ἴκτερος εἰς κρίσιμον ἡμέραν· οἷον ἑβδόμην· ἢ θ' ἢ ια' ἢ ιδ'. μετὰ τὸ φανῆναι σημεῖα
τῆς πέψεως καὶ κουφίζεσθαι τὴν νόσον. ὥσπερ δὲ σημεῖον πέψεως· καὶ τὰ ἄλλα. οἷον αἱ προλεχθεῖ-
σαι φυσικαὶ εὐρύνσεις ἐστὶ κρεῖττον κατὰ μικρόν. τοῖς γινώσκει τὸ νόσημα κρίσιμον πάνυ καὶ
προδηλοῦσιν οὐκ ἔξω. ὅτε οὖν ἔχοντα τὸ εἶδος ταύτης τῆς νόσου, χρὴ κυβερνᾶσθαι διὰ τῶν λεπ-
τυνόντων. ὥστε δαμάσκηνα, τὰ ὀξυφοίνικα, τὸ ἀπόζεμα τῶν δύο ῥοῶν. τῆς ὀπτῆς κολο-
κύνθου μαλαχθῆναι εἰς τὸ αὐτὸ ἀπόζεμα, κάρυα προσφ. τὰ ζωθέλα. ὁπηνίκα δὲ ἡ νόσος
παρακμάσῃ καὶ παύσηται ἡ ὀξύτης τοῦ πυρετοῦ, κινεῖται τὴν ξανθὴν χολὴν μεθ' ὕδατος
τοῦ κνίκου. τῆς περιπλοκάδος τοῦ στρύχνου. μετὰ καὶ μελαίνης κασσίας τε καὶ τῶν ὁμοί-
ων. δίδεται δὲ τῶν νοσούντων, σπιασκινῆ ζαν ὀξυσάκχαρι· ἢ μεθ' ὕδατος τῶν δύο ῥοῶν· ἢ μετὰ σακ-
χάρεως καὶ σποδίου. βάφεται δὲ κολοκύνθου. φακῆς. ἀνδράχνης. βλῆτα. ἀτράφαξιν. τεῦτλον
δὲ καὶ ἐπὶ τοῦ ἥπατος καταπλάσσεται συνεχῶς ἐκ τῶν δύο σανταλ. ἐρυθροῦ καὶ κιρρινοῦ. ῥόδων.
κριθαλεύρου. μετὰ ὀλίγης καφουρᾶς. προσφέρεται μεθ' ὕδατος τοῦ στρύχνου. ἢ τῆς ἀνδρά-
χνης. ἢ τοῦ φακοῦ τῶν τελμάτων. ἢ μετὰ τοῦ γλυκέως τοῦ ... ἢ ἐσδαγκίου. ὁπηνίκα δὲ ὁ
πυρετὸς φυγαδευθῇ καὶ ἀπομείνῃ καταλελειμμένα ἴχνη τοῦ ἰκτέρου εἰς τὸ σῶμα, ποιοῦμεν
τῷ ἀρρώστῳ τὸ ὕδωρ τοῦ μαράθρου καὶ τοῦ στρύχνου· καὶ τοῦ κνίκου μετὰ ὀξυσάκχαρος, ἢ μετὰ
τῶν βοτανῶν τῆς καφουρᾶς. ἢ τοῦ σποδίου. ἢ τοῦ σανταλίου. ἢ τῶν ῥόδων. ἢ τοῦ λαχά. καθαίς-

τῷ εἰλεῷ οὖν πράγματι τοῦτο προσθετέον. βοηθεῖ δὲ στρουθία πέδιλος σὺν ὀμφακί-
νῳ ὕδατι. ἢ ἡδυόσμου. ἢ μεθ᾽ ὕδατος ὀξυμέλι ῥόος. ἢ ὀρνιθόπουλα μετ᾽ ὄξους. ἢ μετὰ
κολλαβίου. ὁ δὲ ἄρρωστος τὸν ὀφθαλμὸν μετ᾽ ὄξους καὶ ὕδατος ψυχροῦ. ἢ μετ᾽ ὄξους καὶ ῥοδοστά-
γματος. ἢ μετ᾽ ὄξους καὶ ὕδατος κορίου. ἢ μετ᾽ ὄξους καὶ γυναικείου γάλακτος. ἢ μετ᾽ ὄξους καὶ ἐ-
λαίου. ἀπαίρει γὰρ τὸ ὠχρὸν τῶν ὀφθαλμῶν. ὁμοίως ὠφελεῖ μεγάλως ὁ ζωμὸς τῶν δύο ῥοῶν εἰς τοὺς
ὀφθαλμούς. καθαίρει γὰρ τὸν ἴκτερον μεγάλως καὶ θαυμαστῶς. εἰ δ᾽ οὖν περιπλέει ὁ ἄρρωστος, δεῖ πρῶτον τέ-
μνειν τὴν βασιλικὴν φλέβα τῆς δεξιᾶς χειρός, καὶ ἀπολύειν τὸ αἷμα κατὰ τὴν δύναμιν. καὶ τοῦτο εἰ ἐπι-
συνάδει ὁ καιρός. καὶ ἡ ἡλικία. καὶ ἡ συνήθεια. εἶτα κινοῦσι τὴν γαστέρα, διὰ τῶν κινούντων τὴν
ξανθὴν χολήν. ὥστε τὸ ἔψημα τοῦ μήλου τοῦ καλουμένου, ἢ τὸ ἔψημα τὸ ἔχον μυροβάλανον. ἀψίν-
θιον. σπέρμα κνίδου. ἀψίνθιον ῥωμαϊκόν. δαμασκηνά. ζίζιφα. ὀξυφοίνικον. μάννα.
καὶ τὰ πλεῖστα τούτοις ὅμοια. ἀπὸ δὲ τῶν ἑψημάτων καὶ ποτῶν. καὶ κόκκων. καὶ ἐλιγμάτων τῶν ἀγόντων τὴν
ξανθὴν χολήν. πινέτω δὲ καὶ τὸ ὀξυσάκχαρον. τὸ ἁπλοῦν τὸ σπουδαῖον. τὸ οὕτως καλούμενον. ἢ
πινέτω τὸ κυδώνιον ὀξυσάκχαρον. ἢ τὸ τῆς ἀψινθίου. ἢ τὸ ἄλλο καινόν. εἰ δέ τι κωλύει τὴν φλεβοτομίαν.
ἢ τὴν διὰ φαρμάκων κάθαρσιν τῆς χολῆς, ὡς ἡ ἀσθενοῦσα δύναμις ἢ τὸ ψῦχος τῆς ὥρας καὶ ἡ
ἡλικία καὶ τὰ ὅμοια· δεῖ πίνειν τὸ ἀπόζεμα τοῦ σχοίνου. τοῦ κνίδου. τῶν ἰντύβων. τῶν μα-
ράθρων. ἑψημένων καὶ ἀπηφρισμένων σὺν ὀξυμέλιτι ἢ ὀξυσακχάρῳ. ἢ σὺν σακχάρῳ. ἢ σὺν ὕδατι
τῶν δύο ῥοῶν. πινέτω δὲ πάλιν σὺν ὕδατι λαχάνων, τὰ βολίσκια τοῦ λακχᾶ. ἢ τῆς ἀψινθίου.
ἢ τοῦ εὐπατορίου. ἢ τοῦ ῥέου: εἰ δὲ πολύθερμος ἐστὶν ὁ νοσῶν λαμβανέτω τὸ ὀξυσάκχαρον
σὺν τοῖς βολίσκοις τῶν ῥόδων. ἢ τοῦ σανδάλου. ἢ τοῦ σανδαλίου. ἢ τῆς καφουρᾶς καὶ τὰ ὅμοια.
ἡ δὲ τροφὴ ἔστω χρυσολάχανα βλῆτα. ἀνδράχνη. κολοκύνθη. ἀμυγδαλέλαιον γλυκύ. ὕδωρ
κορίου χλωροῦ. πινέτω δὲ καὶ πλιαντάνης ἐπὶ χρόνον ἑψηθὲν τὸ ὕδωρ τοῦ ὀξυμέλιτος ῥόος. ἑψη-
μένου ἐν αὐτῷ τοῦ φλοιοῦ τῆς ῥίζης τοῦ μαράθρου. καὶ τῶν ἰντύβων. ἀλειφέτω δὲ τὸ πρόσφατον
ἰχθὺν ἑψητὸν ἀλεκτρυόνα σὺν ὄξει καὶ σακχάρῳ. καὶ πέρδικας καὶ δορκάς. συντρίβεται δὲ τὸ ὕδωρ
μετ᾽ ὀξυσακχάρου καὶ καταπλαστέσθω τὸ ἧπαρ μετ᾽ ἐμπλάστρου τῶν σανδάλων καὶ τῶν ὁμοίων. ὠφελεῖ
δὲ αὕτη εἰς ἴκτερον, τοῦ λαβεῖν σπέρμα ἀγριοσταφίδος κεκομμένου καὶ σεσησμένου < β. καὶ πίνειν
μετ᾽ ὀξυσακχάρου. ἢ λαβεῖν κέρας ἐλάφου κεκαυμένου < β. καὶ πίνειν αὐτὸ μεθ᾽ ὕδατος ψυχροῦ. ἢ πίνειν < β.
ἀψινθίου κεκομμένου καὶ σεσησμένου μεθ᾽ ὕδατος τοῦ ἀνίσου. πίνειν δὲ καὶ ἐκ τῶν τοιούτων βολίσκων.
σύνθεσις βολίσκων ὠφελίμων εἰς ἴκτερον. ἀποφρακτικῶν τῆς ἐμφράξεως τοῦ ἥπατος καὶ τῶν σπλάγχνων.
Λαβὲ ἱερᾶς πικρᾶς. ἀψινθίου. χολῆς. εὐπατορίου ἀνὰ < β. φύλλων ῥόδων ἐρυθρῶν. σποδίου. χίνου ἄνθος.
ἀγαρικοῦ. φύλλων ἰνδικῶν ἀνὰ < α. λακχᾶ κεκαθαρισμένου. ῥέου ἰνδικοῦ. ἀνὰ < α. κόψας σήσας,
φύρασον μεθ᾽ ὕδατος τῶν ἰντύβων. καὶ ποίει βολίσκους ἀνὰ < α μέχρι < α. πινέτωσαν
δὲ μετὰ ζωμοῦ τῶν ἰντύβων ἐξαρισμένου μετ᾽ ὀξυσακχάρου οὐ α. πάνυ γὰρ ὀνίνησιν.
*ἱερὰ ἡ τοῦ δαμασκηνοῦ ὠφελοῦσα εἰς τὸν ἴκτερον πόνον ἥπατος. τὸν ἀπὸ χολῆς ἐμέ-
τον μαλάσσει δὲ καὶ τὴν γαστέρα.* Λαβὼν λακχᾶ κεκαθαρμένου. σποδίου ἀνὰ < β.
κρόκου χαρούβας δ. ῥέου ἰνδικοῦ. καφουρᾶς ἀνὰ χαρούβας δ. κόψας σήσας, ἀναμίγνυε
μεθ᾽ ὕδατος τῶν δαμασκηνῶν. καὶ τῶν ὀξυφοινίκων ἑψημένων. ἡ πόσις ἔστω λίτραι γ. ὀπωρινά

διαπήδα ὥσπερ ἀπὸ τοῦ στόματος καὶ ἐναπολαύειν ἢ ὠχρότης ἐστὶ τῶν ὀφθαλμῶν διὰ τὴν πληθώραν
μετὰ τὸ μεθύσκεσθαι τῶν σιτίων. ἢ λαβὼν ὀλίγοις πόνοις ἠσθένησεν, ἢ ἄλλου καὶ ποτ-
θεὶς μετὰ γυμνασίου γαλακτος καὶ παρεστάναι ἢ μετὰ ὀξέως δριμέος καὶ ἐπιδείκνυσι.
ἢ παρὰ τῷ μεθύειν ἐξ ἀρχῆς εἴπομεν. ἐπὶ ἀφαιρέσει τοῦ ἰκτέρου [illegible]:—

ἡ ια΄ σπυ. περὶ σπληνός —

Ἐπειδὴ τῆς κοιλίας διαθέσεως ἀπὸ τῆς ἄνω ἐπὶ τὰ κύρια, περιέγραψεν ὁ Ἱπποκράτης, ἐστὶ ἀρχὴ τῆσδε
τῆς ῥήσεως τῆς ε΄ βιβλίου. οἷσιν ὁ σπλὴν καταρρέει, πόδες καὶ γούνατα θερμά. περὶ
σπληνικῆς διαθέσεως ἐνταῦθα διαλέγεται καὶ φησὶν ὅτι οἷς ὁ σπλὴν καταρρέει, τουτέστιν
ἐπὶ τὰ κάτω ῥέπει ἔχει τὴν φλεγμονὴν ἢ τῆς φλεγμονῆς ἐντὸς ἄνω μετεωρισμοῦ γενομένης. τῆς δὲ ὕλης
ἐπὶ τὰ κάτω ῥεπούσης, φησὶν ἐπειδὴ ἐπὶ τὸ ὀδυνῶδες μόριον τουτέστιν ἐπὶ τὰ κάτω
φέρεται ἡ φύσις μετὰ τοῦ οἰκείου σχήματος τουτέστι μετὰ αἵματος γινομένη. διὰ τοῦτο τὰ μὲν κάτω
οἷον πόδες, θερμότεροι εἰσὶ καὶ τὰ γόνατα. αἱ δὲ χεῖρες καὶ τὰ ὦτα καὶ αἱ ῥῖνες ψυχραί.
ἄρα διὰ τοῦτο λεπτὸν αἷμα καὶ ἄπορον προσφέρει τοῦ λόγου. ἐπὶ σπληνικῇ διαθέσει,
φέρεται πολλάκις τὸ αἷμα λεπτομερέστερον διὰ ῥινῶν. καὶ ζητεῖ ἄρα διὰ τί τοῦτο λεπτὸν
ἐκκενοῦται. ἄρα αὐτὸς ὁ σπλὴν ἐπὶ λεπτοτέρᾳ ὕλῃ ἔχει τὴν φλεγμονὴν [illegible], ἢ τὸ μὲν
παχὺ κρατεῖται ἐντὸς σπληνί, τὸ δὲ λεπτὸν ἐστὶ τὸ ἐκκρινόμενον. ὅπερ καὶ ἐπὶ τοῦ λίθου λέγομεν ἐν
τῇ διαγνωστικῇ. ὅτι διὰ τοῦτο λεπτὸν φέρεται τὸ οὖρον, διὰ τὸ παχὺ κρατεῖσθαι ἄνω ὑπὸ
τοῦ λίθου. ἐντεῦθεν ἐκπιέσματα. ὅρον δὲ τὸ [illegible] ἐμποιεῖται αἱ κοιλίαι ἐπαράσσονται. [illegible]
τοῦτο ἐν τῷ ἄνω [illegible] τουτέστιν ἡνίκα βλάπτεται πόνος ἐν τῷ σπληνί, τότε συμβαίνει γί-
νεσθαι ψυχρὰ τὰ ἄνω. θερμὰ δὲ τὰ κάτω. ψεῦδος δὲ τοῦτο. καὶ μετὰ ὕλης μόνης οὔσης συμβαίνει
ταῦτα γίνεσθαι τὰ συμπτώματα. ἡμεῖς δὲ φαμὲν ὅτι [illegible] τὸ κάτω δεῖ ἄλλο τάξαι. πολλάκις
μὲν ἐπὶ τῶν ὀμφαλῶν γίνεται φλεγμονή, ἢ περὶ τὸ ἦτρον, ἢ ἐπὶ τὰ ὑστέρα. εἶτα ἐξ αἰφνιδίου γίνεται
ῥῆξις καὶ φέρεται τὸ πῦον, διὰ τῶν ἀδήλων πόρων, ἐπὶ τὰ ὑστέρα. εἶτα τοῦτο ὡς δριμὺ [illegible]-
ρεθίζει τὴν γαστέρα καὶ φέρει ἐπὶ πλέον τὸ περίττωμα. καὶ εἰ τοῦτο συμβῇ, σημεῖόν ἐστιν,
ἡ ῥῆξις γέγονε τῆς φλεγμονῆς ταύτης. διὰ τοῦτο παραδίδωσιν ὁ Ἱπποκράτης. σπλὴν
σκληρὸς [illegible] ἄνω τὰ κάτω στρογγύλος. πλατύς. παχύς. μακρός. λεπτός. τὰς διαφορ-
ὰς τοῦ ὄγκου τοῦ σπληνός, βούλεται παραδοῦναι. γίνεται μὲν ὄγκος, ποτὲ μὲν ἐν τῷ ἄνω αὐτοῦ μέρει.
ποτὲ δὲ ἐν τῷ κάτω. καὶ ποτὲ μὲν ἐπιμήκης. ἐπειδὴ καὶ αὐτὸς ὁ σπλὴν ἐπιμήκης ἐστί. πολλάκις
δὲ τὰ παρὰ φύσιν, τοῖς κατὰ φύσιν σχηματίζονται, ὥσπερ καὶ ἐπὶ τοῦ ἥπατος, ὡς ἐπὶ τὸ πλεῖστον
στρογγύλος γίνεται ὁ ὄγκος. ποτὲ μὲν οὖν ἐπὶ τοῦ σπληνὸς ἐπιμήκης γίνεται ὁ ὄγκος. ποτὲ δὲ
στρογγύλος. ὅταν δὲ ἡ ὕλη μὲν παχεῖα καὶ ἐν βάθει, ἡνίκα τὸ κῶδες τοῦ χυμοῦ ἐν
τοῖς ἔσω μέρεσι τοῦ σπληνὸς χωρῇ. [illegible] καὶ ἄνω ἐπιμήκης καὶ κάτω ἐπιμήκης ἄνω
πλατὺς καὶ κάτω πλατύς. ἐν βάθει παχὺς καὶ ἐπιπολῆς παχύς. ἔνιοι δὲ τῶν σπληνικῶν, [illegible]
[illegible] ἔχουσι τοὺς σπλῆνας. οὐ μὴν μόνον [illegible] καὶ βουβῶνος, ἀλλὰ καὶ κύρτου διὰ
τὴν ἀντιρρόπην καὶ τὴν [illegible] δύναμιν βλάπτειν κεφαλὴν καὶ εἰς ἀσθένειαν ἄγειν. ὥς-
τε ψυχροῦσθαι τὸ πᾶν σῶμα. δηλονότι καὶ τὸ [illegible] αἷμα χειρότερον καὶ ὑδαρέστερον ἐπάγει

γίνεσθαι τῶν τοιούτων παθῶν μάλιστα μὲν χρὴ τὴν θεραπείαν ἀναγκαστικὴν ἢ προνοεῖν
ἀπὸ τῶν ἀμυδροτάτων ἄρχεσθαι βοηθημάτων. πεφυλαγμένους ἐπιπλεῖν διδόναι αὐτοῖς ἔχειν. μή-
τε φάρμακον σφοδρὸν ἔσωθεν ἢ ἔξωθεν προσφέρειν. μήτε μὴν ὅλως τινὰ ἀθρόα. ἀλλὰ κατὰ
βραχὺ τοῖς ἁπλουστέροις χρώμενοι. τοῦ δὲ διὰ σπέρματος καὶ τῶν ἔξωθεν ἀναλαμβάνοντες διὰ τῆς κα-
ταλλήλου διαίτης. τούτοις τοῖς δυνάμεσι ἀρρωστ[illegible]. εἰ δὲ ὅμως τὸ κρεῖττον προκόπτουσαν αὐτὴν θεασώ-
μεθα τοῖς ἰσχυροτέροις χρησόμεθα βοηθήμασι καὶ κατὰ βραχὺ προστιθέντες αὐτῇ. αἱ τοῦ σπληνὸς
ἀρρωστίαι, ἐοίκασι ταῖς τοῦ ἥπατος νοσήμασιν. ἐπειδὴ γὰρ αἱ ἀσθένειαι τούτου γίνονται καθώσ-
περ συμβαίνει ἐν πᾶσι τοῖς μορίοις· φημὶ μὲν ἀπὸ δυσκρασίας ἢ ἀπὸ ξηρότητος καὶ θερμότητος
ἢ ξηρότητος καὶ ψυχρότητος. ἀπὸ ὀργανικοῦ τουτέστι [illegible] καὶ διαλύσεως τῆς συνεχείας· καὶ τὸ
μέγιστον, ὁπηνίκα συμβῇ σκληρότης ἐν αὐτῷ καὶ ὄγκος. ὁπηνίκα οὖν τοιοῦτόν τι συμβῇ τῷ σπλη-
νὶ, ὑπόκειται τῇ αἰσθήσει καὶ καταλαμβάνεται ῥᾷον· καὶ οὐ δεόμεθα τεκμηρίων ἑτέρου δηλοῦντος
ἡμῖν πλέον περὶ τῆς αἰτίας. ψηλαφῶντες γὰρ ὁρίσομεν. διότι ὑπάρχει φανερόν· καὶ ὅθεν ὀλιγοῦται
ὁ σπλήν. ἰσχνοῦται τὸ σῶμα· καὶ πολλάκις ἐπανίσταται τῷ σπληνιῶντι ῥεῦμα κοιλίας [illegible] καὶ μάλα
ὅμοιον τῇ μελαίνῃ χολῇ· καὶ συμβαίνει αὐτῷ ἐπιθυμία βορᾶς. πολλάκις δὲ συμβαίνει γὰρ θέρμη
σφοδρὰ εἰς ἅπαν τὸ σῶμα καὶ ἔξαψις· καὶ κόποι· καὶ βραχὺς [illegible]. τοῦτο δὲ γίνεται ἀπὸ πονηροῦ καὶ κακίστου
καὶ ἀχρήστου αἵματος. ἐκ τούτου φησὶν ὁ Κλαύδιος ὅτι τὸ ὄργανον τοῦ [illegible] ὑπάρχει ὁ σπλὴν τὸ
γὰρ παχύτερον αἷμα εἰς αὐτὸν ἕλκει, τὸ ὂν ἐν αὐτῷ τρυγῶδες καὶ μελαγχολικόν, ὁπηνίκα ἡ ἑλκτικὴ δύνα-
μις τοῦ σπληνὸς οὐκ ἰσχύει ἕλκειν ἀπὸ τοῦ ἥπατος τὸ παχὺ καὶ βορβορῶδες αἷμα, ἐναπολείπεται
εἰς τὸ ἧπαρ. καὶ παρέχει τὸ αἷμα τῇ μελανότητα καὶ σκοτ[illegible]· καὶ διαδέχεται ἡ μέλαινα χολὴ εἰς ἅπαν τὸ
σῶμα· καὶ γίνεται ἡ χροιὰ τοῦ σώματος ὅλη μέλαινα ἀλλοιωθεῖσα ἐκ τοῦ κατὰ φύσιν. ὁπηνίκα δὲ ἕλ-
κει ὁ σπλὴν τὸ τρυγῶδες τοῦ αἵματος τὸ ἄχρηστον, καὶ ἀπὸ [illegible] τοῦ αἵματος· καὶ ἀπὸ
τῆς συμμίξεως τῆς μελαίνης χολῆς, τότε καθαρὰ γίνεται ἡ οὐσία τοῦ αἵματος· καὶ διακρίνεται [illegible]
τὸ σῶμα [illegible] εἰλικρινὲς καὶ συμμέτρως πάνυ ἡ οὐσία τοῦ αἵματος· καὶ ὑπάρχει καθαρὰ καὶ ἀκηλίδωτος.
οὕτω δὲ τούτου γινομένου, ἐξαπλοῦται ἡ ψυχὴ καὶ προστίθεται· καὶ δύναται [illegible]· καὶ ἡ σοφο-
[illegible]· οὗτός ἐστιν ὁ τρόπος καὶ ὁ σκοπός. ὃν ὁ Κλαύδιος ᾐνίξατο φάσκων. ὅτι ὁ σπλὴν, ὄργανόν ἐστι
τοῦ γέλωτος. εἴπερ οὖν ἐξ ἀρχῆς τὰ νοσήματα τοῦ σπληνὸς [illegible], τότε ῥᾷον ἕπονται τῇ θερα-
πείᾳ. εἰ δὲ ἀμεληθῶσι μέχρις ἂν ἰσχυρώσωσιν αἱ ἐμφράξεις καὶ τὰ οἰδήματα, γίνονται δυσθεράπευτα
καὶ [illegible]. εἰ οὖν ὑπάρχει αὐτῷ οἴδημα, οὐ μόνον ἐπιτιθέναι δεῖ τούτῳ ἀπὸ τῶν ἐκ-
τὸς τὰ ἰσχυρὰ φάρμακα, ἀλλὰ καὶ ἀπὸ τῶν ἐντός. διότι ὁ σπλὴν ὑπομένει τὰ ἰσχυρὰ τῶν φαρμάκων
ἄνευ βλάβης καὶ δυσφορίας. εἴπερ οὐχ ὑποφέρει τὸ ἧπαρ θεραπευόμενον σὺν τῷ ὀδυνηρῷ τοῦ
σπληνός. δεῖ θεωρεῖν τὰ φαινόμενα σημεῖα τῆς ἀρρωστίας· καὶ εἰ ἐμφαίνουσιν [illegible] ἀπὸ θερμότητος
εἶναι, δεῖ τέμνειν βασιλικὴν φλέβα τῆς ἀριστερᾶς χειρὸς ἢ τὴν φλέβα τὴν μεταξὺ τοῦ μικροῦ δα-
κτύλου· καὶ τοῦ δευτέρου τῆς χειρός. καὶ τοῦτο εἴπερ συνᾴδει ὁ καιρὸς καὶ ἡ ἡλικία καὶ ἡ δύναμις. ἀπολυέ-
σθω δὲ τὸ αἷμα κατὰ τὴν δύναμιν τοῦ πάσχοντος τὸ ἁρμόζον αὐτῷ· καὶ πινέτω τὸ ὕδωρ τοῦ [illegible]
καὶ τοῦ μαράθρου· καὶ τῆς ἰτέας [illegible] καὶ τὰ φύλλα τῆς μυρίκης. [illegible]
καὶ [illegible]· [illegible] τοῦ [illegible]. ὁ καλούμενος [illegible]. ἀπολυέ-

γαστέρα μετὰ τὸ σιτίον γίνεται ἡ αἰτία· τοῦτο ζουλᾶ τῆς ῥίζης καὶ τῶν ὄρων εἰσὶ φασὶ
εἶναι ἀπὸ τῆς κράσεως καθὼς φασὶ γαληνός· ὅτι τὸ πλέον οὕτω ἥπατι συμβαίνει ὅθεν
ἀπὸ ψύξεως καὶ παχύτητος, διὰ τοῦτο τούτων τὰ ξηρὰ φάρμακα τὰ ἀποφράττοντα
τὰς ἐμφράξεις· ὥστε ἀφαιρεῖν τὰ λεπτομερῆ βραχέως

ἢ ταῖς κοτύλαις. ἀπέχεσθαι δὲ δεῖ τῶν θερμῶν βρωμάτων καὶ πομάτων. ... ἃ ἐκλύουσι τὰ ἀφροδίσια.
λαβὼν σπέρμα ἄγνου, καὶ τὰ ἄνθη αὐτοῦ, πηγάνου σπέρμα ἀνὰ ∠ ς΄΄. μανδραγόρου φύλλα. φολίδος
σφαιρίου ἀνὰ ∠ ∠ ς. καστόριον, κύμινον. ἀνὰ ∠ ε. μέλιτος τὸ ἀρκοῦν. ἡ δόσις καρύου ποντι-
κοῦ τὸ μέγεθος μετὰ ἀποζέματος πηγάνου. ἀνασχετικὰ αὐτοῦ χωρὶς σιδήρου. λαβὼν τῆς νυ-
κουφάρου βοτάνης τὰς ῥίζας. συνθλάσας, θὲς ἐν ὀθονίῳ καθαρῷ, καὶ πίεζε καθ' ὥραν τὴν ἡμέραν.
τὸ ὑποκάτω μέρος [illegible] τὰ ἐρρυπωμένα ἢ τὴν κύστιν μετὰ τοῦ ἀποζέματος τῶν ῥιζῶν [illegible] τὰ ἐμ-
πλάσματα. καὶ μετὰ τοῦ ὄξους.

κεφ. ... περὶ γονορροίας ἀθελήτως γινομένης.

Ἡ γονορροία ἤγουν τὸ ἐκουσίως ἀθελήτως γινομένη χωρὶς ἐπιθυμίας καὶ ἐντάσεως, γίνεται ποτὲ μὲν ἐξ ἀ-
τονίας τῆς καθεκτικῆς δυνάμεως τῶν σπερματικῶν ἀγγείων. καὶ τοῦτο γίνεται ἀνωφερὴς καὶ ὑγρότης τοῦ
καυλοῦ. ποτὲ δὲ πόνος συμβαίνουσι τὰ ἀγγεῖα, ὁ σπασμὸς ὁμοίως τὴν ἐκκρισιν ποιῶν, ἢ διὰ
... τὸ ἐκ ... τὸν γόνον ἐξάγειν αὐτῶν, καθὼς συμβαίνει ἐπὶ τοῖς ἐπιλη-
πτικοῖς. τοῦτο δὲ γίνεται μετὰ τῆς ἀνατάσεως τοῦ μορίου. ἡ δὲ οὕτως ἀκούσιος γονορροία ἐστίν, ἢ διὰ
τὸ ποσὸν τῆς γονῆς ὅταν πληθωρικὴ, ἢ διὰ ποιότητα. ὅταν γένηται θερμὴ καὶ δριμεῖα ἢ λε-
πτὴ καὶ ὑδατώδης. θεραπεύονται δὲ οὕτω τὸ τοιοῦτον πάθος. διατρέφειν τοὺς τοιούτους διὰ
ψυχρῶν τροφῶν, οἷον θριδακίνη, χρυσολάχανα, κολοκύνθαι, βλίτα, σῦκα, πέπονας.
καὶ πᾶν ψυχρὸν καὶ ὑγρὸν ἢ ψυχρὸν καὶ ξηρόν. ἄρτον συσσίτιον. ὄξος ὀμφάκιον. καὶ τὰ ὅ-
μοια. χρίεσθω δὲ τὸν καυλὸν καὶ τὴν ὀσφὺν μετά τινων ψυχρῶν ἐλαίων. οἷον χυλὸν στρύ-
χνου. ὑοσκύαμον. ἀνδράχνης. ῥόδελαιον μετὰ λιθαργύρου καὶ ψιμμυθίου. τὰ δὲ ἐπι-
πλάττεσθαι ... αὐτοῦ. ἔσωθεν διὰ τῶν ψυχόντων ἐσθίετω δὲ συχνῶς. τὸ κανναβόσπερ-
μα, τῆς θριδακίνης ∠ β. μεθ' ὕδατος τῶν ἑψημένων φακῶν. πινέτω δὲ τὸ ἄλευρον τῶν βα-
λανῶν ∠ β καθ' ἡμέραν. μετ' οἴνου στρυφνοῦ. ἢ πινέτω σπέρμα θριδακίνης ∠ β με-
θ' ὕδατος ἀνδράχνης. ἀποσβεννῦσι τὴν ἐπιθυμίαν καὶ ξηραίνει τὴν γονήν. ἔστι καὶ ναβό-
σπερμα καὶ σπέρμα ἀνδράχνης ἀνὰ ∠ β. πινόμενα μεθ' ὕδατος ἀνδράχνης. ἀθετεῖ-
κοπτει πάλιν τὴν γονορροίαν. καὶ σβεννῦσι τὴν ἐπιθυμίαν ἀπὸ τ' ἀνδρός. λαβὼν τὸ κωνάρ-
ιον βαλαύστιον. σπέρμα ἀνδράχνης. θριδακίνης. ἀρνογλώσσου. κανναβόσπερμα ἀνὰ
∠ β. σπέρμα ἀνήθου. πηγάνου ἀνὰ ... κόψας σήσας. πινέτω ἐξ αὐτοῦ, ... μετὰ
ὕδατος ψυχροῦ. ἢ λαβὼν πήγανον. ὑοσκύαμον ἀνὰ μέρος α. κόψας σήσας, πινέτω ἐ-
ξ αὐτοῦ ... μετὰ ζουλαπίου νυμφαίας. ἢ ὄξους. ὀνήσει γὰρ ἀπὸ τοῦ πλήθους τῆς γο-
νῆς. ἢ λαβὼν σπέρμα ἄγνου. ὁ προσαγορευόμενον πεντάφυλλον. σπέρμα πηγάνου ἀνὰ ∠ β. ζιγγιβέ-
ρεως ∠ α. κόψας σήσας, πινέτω μεθ' ὕδατος ψυχροῦ. συχνάκις δὲ καθεζέσθω εἰς ὕ-
δατα ψυχρά. ἀπεχέσθω τε τῶν θερμῶν τροφῶν, καὶ ποτῶν. κεφ. ... περὶ τοῦ ἐν ὀνείρῳ γονορροεῖν.

Τὸ ὀνειρώττεσθαι. οὐ συμβαίνει τοῖς παισί, διότι εἰσὶν αἱ φλέβες αὐτῶν. λεπταὶ καὶ στεναί. ἐμπε-
πλησμέναι ὑγρότητος, ἢ ἡ θερμότης αὐτῶν. οὐκ ἀπαρτίζεται, ὁπηνίκα δὲ πληρωθῇ ὁ παῖς,
γεννᾶται ἐν αὐτῷ ὕλη τοῦ σπέρματος ἢ ἀπαρτίζεται. ἰσχύει δὲ ἡ θερμότης τοῦ σώματος. ἤδη
εὐρύνονται οἱ δρόμοι τῶν φλεβῶν αὐτῶν. μετὰ τῆς φυσικῆς κινήσεως, ... ὕλην
πληθυνομένην εἰς αὐτούς. καὶ ἐκ δύο ξηραίνει δι' ὀνείρου. συμβαίνει δὲ πολλάκις

ὁποῖα εἶναι τὰ πρὸς αὐτῆς γυναῖκα· καὶ ἐν τοῖς ὁμοίοις, ὡς ὅταν ὑπνώσωσι, φαντάζονται ἀπὸ ἐπιθυμίας τῆς ψυχῆς αὐτῶν· ὥσπερ εἰς ταύτην συνουσίαν· καὶ ὀνειρώττεται τῶν γονῶν· ἐπειδὴ ἡ φαντασία τῆς ψυχῆς ἀρρήνεται· καθὼς ὑπάρχει ἡ διάθεσις τοῦ σώματος κατὰ τὸ ποιὸν καὶ τὸ ποσόν· ὅτι γε ἐπιβαροῦται τὸ σῶμα ἐκ πολλῶν χυμῶν ὡς ὁ βαστάζων φορτίον πολύ· καὶ τὸ ἀνάπαλιν, ὅτι ἐστὶ τὸ σῶμα κοῦφον καὶ καθαρὸν ἀπὸ τῶν περιττωμάτων, ὀνειρώττεται ὥσπερ πετώμενον ἢ τρέχον καὶ τὰ ὅμοια· τὸ ὀνειρώττεσθαι δέ, οὐ γίνεται εἰ μὴ ὅταν μὴ κινῆται ὁ ὕπνος καὶ βαθύνῃ ἐν αὐτῷ· ὅπερ οὖν οὐκ ἔστιν ὁ ὕπνος ἤρεμος καὶ ἡσύχως τῶν ὑπνούντων· ἀλλ' οὐ συμβαίνουσιν αὐτῷ φόβοι ἢ ἐξυπνοῖ ἐν μέρει τῶν ὁρωμένων ἐνυπνίοις, οὐκ ὀνειρώττει. δεῖ οὖν τὸν κατὰ πλῆθος γονορροιοῦντα, θεραπεύεσθαι, διὰ ὑδάτων καὶ τροφῶν τῶν προηγουμένων περὶ ὀγκώσεως καυλοῦ· ὑπτίως δὲ ὑπνούσθω· χριέσθω γε τοὺς λαγόνας καὶ τὸν καυλόν, διὰ ψυκτικοῦ ἐλαίου· ὡς καὶ ἀνδράχνη· κόριον· ὑοσκύαμος· στρύχνος καὶ τὰ ὅμοια. ἐσθιέτω δὲ τὰς ψυχρὰς τροφάς· ὡς τὰς θριδακίνας· ἀνδράχνην· ἀτράφαξιν· κολοκύνθας· πέπονας· σικύδια· δαμασκηνά· μόρα· ἀρνόγλωσσον καὶ τὰ ὅμοια. καθεζέσθω δὲ ἐπὶ ψυχρᾶς στρωμνῆς· καὶ ἐσθιέτω καὶ ἀλβόσπορον· πινέτω γε σπέρμα θρίδακος· καὶ ἀλειφέσθω τὸν καυλὸν καὶ τοὺς ὄρχεις μετὰ ναφθάρας καὶ ῥοδοστάγματος· καὶ τὰ παραπλήσια· ἀπὸ γε τροφῶν καὶ πομάτων τῶν ψυχρῶν. —

περὶ τῶν ἑλκῶν καὶ τῶν οἰδημάτων, τῶν γινομένων ἐν τῷ καυλῷ:

Συμβαίνουσιν ἐν τῷ καυλῷ τραύματα καὶ οἰδήματα καὶ φλυκτίδες, ἃ γίνονται ἀπὸ καταρροῆς περιττωμάτων ἐκ παντὸς τοῦ σώματος εἰς αὐτόν· τὰ δὲ συμβαίνοντα ἐν τῷ καυλῷ, ἐμφανῆ εἰσι πρὸς γνῶσιν· σεσημείωται δὲ ἡ αἰτία τούτων, ἀπὸ τῆς κράσεως τοῦ ἀρρώστου· ὅσων δὲ ἔστιν ἐν τῷ καυλῷ τραύματα ἀτερόγκου, θεραπεύονται διὰ ταύτης τῆς τάξεως. λαβὼν παπύρου κεκαυμένου· ψιμμύθιον· λιθάργυρον ἀνὰ γρ. β· κολοκύνθαν ξηρὰν κεκαυμένην· χυλὸν γλαυκίου· ἀνὰ γρ. α· κόψας σήσας ἀνάμιξον σὺν ῥοδελαίῳ, καὶ θεράπευε· ἔστι γὰρ αὐτὴ ἡ θεραπεία, ἴαμα αὐτῶν καὶ ῥύσις· ὅσα δὲ ῥέουσι τὰ τραύματα, θεραπεύονται ταῦτα, μετὰ τοῦ φλοιοῦ τοῦ ... σὺν τοῦ βολβοῦ κεκαυμένου καὶ τοῦ αἵματι τοῦ λίθου· ὅσα δὲ αἰσθάνεται ὁ νοσῶν κνησμοῦ ἐν τῷ καυλῷ, λαβὼν μέρος κρόκου· καὶ μέρος βαφομένων· τρίψας ἕκαστον, ἑνώσας, μετὰ ὕδατος· καὶ κλυζέσθω μετὰ τούτου τὸν καυλόν· καὶ ἀλειφέτω· καὶ ὅσα φανήσονται ἐν τῷ καυλῷ οἰδήματα, θεραπεύονται, διὰ τοῦδε τοῦ χρίσματος· λαβὼν καδμείαν ἀργύρου· ψιμμύθιον· λιθάργυρον· χυλὸν γλαυκίου· ἀνὰ γρ. α· κρόκον· ἀκακίαν· τζουλουνάρ ἀνὰ γρ. ζ· κόψας σήσας, λαβὼν κηροῦ λίτρ. β· ῥοδελαίου τὸ ἀρκοῦν, ἀνάλυσον τὸν κηρὸν σὺν τῷ ῥοδελαίῳ· ὅ ἐστιν ἐπίχεε τὰ ὅλα ἐν αὐτοῖς· καὶ ποιήσας χρίσμα δὸν· καὶ ἄλειφε τὰ οἰδήματα τοῦ καυλοῦ· καὶ τῆς καθέδρας :- ἕτερον χρίσμα, ἐξέθηκεν αὐτὸ ὁ Γαληνός· εἰς οἴδημα καὶ ὄγκον καυλοῦ :- λαβὼν φύλλα ἀμπέλου· λίβανον ἀνὰ γρ. α· ψιμμύθιον γρ. β· ἑνώσας μετὰ ὕδατος τὰ πάντα λεῖα ποιούμενος, ἄλειφε σὺν ῥοδίνῳ ἢ μετὰ ὕδατος θαλασσίου· ὠφελοῦσι σὺν τούτοις, τοῦ λαβεῖν ... τὸ λάδι ῥοδέλαιον· καὶ μέρος κρόκου καὶ χρῖε :- ἕτερον ὠφελοῦν ... τὰς φλυκτίδας τὰς γι-

νομέας ἐν τῷ καυλῷ, ἢ ἐν τῇ καθέδρᾳ ἐπὶ τοῖς οἰδήμασι: λαβὼν βέβρανκε καὶ μίγνυον·
τέφραν κληματίδος τῆς ἀμπέλου· τρίψας μετὰ ὕδατος, ἐπιτίθει· ἀνασπᾷ γὰρ αὐτάς, ὅθεν ὠφέ-
λιον :· πε περὶ τῶν οἰδημάτων τῶν γινομένων ἐν τοῖς ὄρχεσι: —
Ὅταν ἀποσωρευθῶσιν ὗλαι, ἀπὸ τῶν περιττωμάτων τοῦ σώματος εἰς τοὺς ὄρχεις,
συμβαίνουσιν οἰδήματα· καὶ εἰ ἐστὶ τὸ ἐπίρρεον περίττωμα ἀπὸ θερμότητος, ὑπάρχει τὸ εἶδος
τοῦ οἰδήματος ἐρυθρὸν ἢ ὠχρόν· παρέπεται δὲ αὐτῷ, ὀξύτης πόνου καὶ ἀμύξεως με-
τὰ θερμότητος· εἰ δὲ ἐστὶν ἡ ὕλη ψυχρά, ἐστὶ τὸ εἶδος τοῦ οἰδήματος, ὡς τὸ εἶδος τοῦ σώματος,
καὶ αἰσθάνονται ὀδύνης μετ' ἐνύξεως· εἰ δὲ ὑπάρχει ἡ αἰτία τοῦ οἰδήματος προκαθαρτική· ὡς
θλάσμα ἢ κροῦσμα καὶ τὰ ὅμοια, αὐτὸς ὁ ἄρρωστος λέξει ποῖον ταῦτα. θεραπευέσθω
οὖν τὸ οἴδημα, τὸ συμβαῖνον ἀπὸ θερμότητος· εἰ περὶ ἐστὶ δῆλον ἐκ τοῦ προλεχθέντος σημείου, δεῖ
τέμνειν φλέβα βασιλικήν· καὶ σικύαν εἰς τὰς πλάτας· εἰ ἐστὶ τὸ οἴδημα ἐν τοῖς δυσὶν ὄρ-
χεσιν· εἰ δὲ ἐστὶ τὸ ἀλγοῦν, ἐν ταῖς πλάταις ταῖς ἐν τῷ μέρει ἐκείνῳ· σικύαν· καὶ κενοῦσθαι
τὰ τὰ περιττώματα τὰ θερμὰ διὰ τῶν κενωτικῶν· ὡς τὸ ἕψημα τῶν μυροβαλάνων τῶν
ξανθῶν· τῶν ἴων· τοῦ μέλανος καλάμου· τῶν ὀξυφοινίκων· τοῦ μάννα· καὶ τῶν ὁμοί-
ων· χρίειν τὸ οἴδημα διὰ τῶν τοιούτων χρισμάτων. λαβὼν ψύλλιον, ξηρανὸν αὐ-
τό· καὶ λαβὼν τὴν τέφραν αὐτῶν, τρίψον σὺν ῥοδίνῳ ἐλαίῳ ἐν μαρμάρῳ ἁπλῷ· καὶ λα-
βὼν ζωμὸν στρύχνου· κιμωλίαν τε καὶ κρόκον, ἑνώσον τὰ πάντα καὶ μάλαξον ἄλειφε· ἢ λα-
βὼν κρίθινον ἄλευρον, ἕψησον σὺν μέλιτι καὶ ὕδατι, καὶ χρίε τὸ οἴδημα· ἢ ἑψήσας τοὺς
κυάμους σὺν οἴνῳ, ἐπιτίθει· ἢ ἑψήσας ἄλευρον κυάμου σὺν ὕδατι καὶ ῥοδελαίῳ, ἄλειφε
πανίον καὶ θὲς κατὰ τοῦ οἰδήματος· ἢ λαβὼν μέρος ἀπὸ τῶν κεράμων τῆς στέγης τῶν οἴκων,
κόψας καλῶς, ἑνώσον μετὰ ὀμφακίνου ἐλαίου καὶ ἄλειφε τὸ οἴδημα· ἢ λαβὼν φύλλα ἀλι-
κακάβου· εἶδος ἐστὶ στρύχνου ποιοῦν καρπὸν ἁδρὸν μέλαν· ὅπερ πινόμενον, ποιεῖ τὸν χρώ-
μενον, παράφρονα· καὶ πολλάκις κτείνει ὡς δηλητήριον· ταῦτα οὖν τὰ φύλλα λαβὼν ἀνά-
μιξον μετὰ κριθαλεύρου· καὶ τοῦ ὠοῦ τοῦ ὠχροῦ· σὺν ῥοδίνῳ ἐλαίῳ· καὶ καταπλάσας
ὡς χρίσμα, χρῶ· χρίσμα ὃ δίδει τὸν Ἰσαὰκ ὁ τοῦ Σολομῶντος εἰς οἴδημα ὄρχεων, ἀπὸ πυρώδους
θερμοῦ· ὃ δοκιμάσας ἐπωφελεῖ: λαβὼν ῥόδα ια· σάνταλον ἐρυθρὸν καὶ λευκὸν
ἀνὰ ∠ δS· ῥίζαν ἀλθαίας καὶ σπέρμα αὐτῆς ἀνὰ ∠ ε· χυλοῦ γλαυκίου ∠ ϛ· φύλλα μαλάχης ∠ ϛ·
κόψας σήσας, φύρασον μετὰ ὕδατος στρύχνου· ὅπως γένηται μελιτῶδες· καὶ σταλάξας ῥοδέ-
λαιον, χριέτω τρὶς τῆς ἡμέρας ὀνήσει γάρ· εἰ δὲ ἐστὶν ἡ αἰτία τοῦ οἰδήματος ἀπὸ ψύ-
ξεως, δεῖ λαβεῖν σταφίδας ἀγιγάρτους καὶ πλατὺ κύμινον τὸ λεγόμενον κεράμου· τρίβειν με-
θ' ὕδατος καὶ χρίειν τὸ οἴδημα, ἢ λαβεῖν καγχρὺ ἑψημένον· καὶ πλατὺ κύμινον· σταφί-
δας ἀγιγάρτους ἀνὰ μέρος α, τρίβειν καὶ ἀναμιγνύειν σὺν ῥοδελαίῳ καὶ καταπλάσσειν· ἢ λα-
βὼν μελίλωτον ἑψημένον μετὰ τοῦ ἑψήματος γλαυκίου, ἀνάμιξον μετὰ ἀλεύρου καὶ ψιμμυ-
θίου καὶ κατάπλασσε· χρίσμα εἰς τὸ ἀπὸ ψύξεως οἴδημα τῶν αἰδοίων· καὶ ἀπὸ τῶν παχέων
περιττωμάτων: λαβὼν πλεῖον ἄλευρον· κυάμινον· ἐρεβίνθινον· χαμαιμήλινον ἀνὰ ∠ ϛ δS·
λίβανον· κύμινον· σμύρναν ἀνὰ ∠ α· κόψας σήσας, φύρασον μετὰ στέατος τοῦ νεφροῦ

τῆς αἰγὸς κηκαροῦ · καὶ τοῦ ἐφημέρου ἐλαίου · ἄνθος ἐστὶ μέγιζον · τὰ φύλλα αὐτοῦ ἐρυθρά · τὰ
δὲ ξανθὸν λαμά · ἴσος ἐστὶ τῶν φυτῶν ἴων · κένωσον τὰ ἄνθη μετὰ τοῦ μυελοῦ τῶν ὀ-
στῶν τῶν βοῶν · ἢ στέαρ μετὰ ἐλαίου τε καὶ τοῦ ὠχροῦ τοῦ ὠοῦ · καὶ χρίε τὰ αἰδοῖα · δεδοκιμα-
σμένον. ·

ζʹ ζʹ περὶ τῶν τραυμάτων τῶν γινομένων ἐν τοῖς ὄρχεσιν :—

Ὅπως ἵνα συμβῶσιν ἐν τοῖς ὄρχεσι τραύματα μὴ ἀφλοῦνται, δεῖ λαβεῖν κίμωλον καὶ τρίβειν
μετὰ ὕδατος καλῶς, καὶ χρίειν τὸν τόπον · καὶ ἡ τῆλις μεταπαύειν μέχρις ἂν ξηρανθῇ · ἔτι δὲ ἀπο-
πλύνειν μετὰ ὕδατος χλιαροῦ · ἢ λαβεῖν ἀκακίαν καὶ ψιμμύθιον, τρίβειν μετὰ ῥοδε-
λαίου καὶ χρίειν τὰ τραύματα · ἢ λαβεῖν ἀμπελίνων ξύλων τέφραν · τρίβειν τε μετὰ ὕδα-
τος καὶ νίτρου καὶ χρίειν τὸν τόπον · ἢ λαβεῖν λιθάργυρον καὶ τρίβειν μετὰ ταραμυθίου λι-
θαργύρου καὶ ῥοδελαίου, καὶ χρίειν τὸν τόπον · ἢ λαβεῖν μυελὸν αἴγειον οὐγγ. ϛ · κηροῦ λαμποῦ ℒ β ·
ἀκακίαν · σπέρμα ῥόδων, ἀνὰ ℒ β · ψιμμύθιον ℒ ϛ · ῥοδελαίου ὅσα · κόπτειν τε καὶ
σήθειν καὶ ἑνοῦν τὰ ἄνθη μετὰ ἐλαίου κηροῦ · καὶ ἕψειν ἐπ᾿ ἀνθράκων πάντα καὶ ἀλείφειν ··
χρῖσμα ὠφέλιμον εἰς ἑλκώσεις ὄρχεων · συμβαίνοντα ἀπὸ χειλέων ὀξυτάτας μάλιστα εἰ ἐσόμενα
μετὰ αὐτὰς αἷμα δριμύ: λαβὼν ψιμμύθιον ℒ ϛ · θεῖον ἄπυρον ℒ β · ὄπιον ℒ ϛ,
κόψας μετ᾿ ὄξους, ἄλειφε τὸν τόπον · εἰ δὲ ἐφάνη εἰς τὰ αἰδοῖα πληγὴ ἐξ ἀφορμῆς
φλεβίου, λαβὼν κηκίδα · στυπτηρίαν κόψας καλῶς, ῥᾶνον κατὰ τῆς πληγῆς · εἰ δὲ εἰ-
δον εἰς αὐτὰ ῥαγάδας, λαβὼν λιθάργυρον · ψιμμύθιον · ῥόδα ἀνὰ μέρος α´ ϛ´ · ἀριστο-
λοχίαν μέρος α´ κόψας σήθας, ζύμωσον μετὰ ῥοδελαίου · καὶ κηροῦ ὀλίγου, καὶ ἐπίθες ·
εἰς ἐμπνευμάτωσιν ὄρχεων: λαβὼν κυάμους, ἐγκαυθέν · καὶ σταφίδας ἀπογεγαρ-
τισμένας · κόψας καλῶς · σὺν αὐτοῖς ἑνώσας καὶ κύμινον, κατάπλασσε ·

Ηʹ ηʹ περὶ σπάσματος καὶ πληγῆς γενομένης ἐν τοῖς ὄρχεσιν :—

Ὅταν συμβαίνῃ ἀπὸ σπάσματος εἰς τοὺς ὑμένας τῆς κοιλίας καὶ τὰ πλησιάζοντα αὐτοῖς
μετὰ τῶν ὄρχεων, γίνεται τοῦτο μὲν ἀπὸ ἰσχυρᾶς κινήσεως · ὡς ὁ βαστάζων τι βαρὺ καὶ ὑπερ-
χων ἐμπιπλάμενος · ἢ ὁ ἀπὸ πάλης ὅμοιοι · καὶ ἀπὸ ὕψους ἐκπίπτοντος ἐρχομένης εἰς τι
μέλος · καὶ κινδυνεύσῃ ἀπ᾿ αὐτοῦ εἰς ἕτερον τόπον · διαρρήξας τὸ διάφραγμα τὸ με-
ταξὺ ἀμφοτέρων · καὶ ἡ ῥῆξις τοῦ διαφράγματος οὐ συνάπτεται · πᾶν γὰρ διαρρη-
γνύμενον ἐκ τῶν νεύρων ἢ τὰ ἀπονευρώσεως παθόντα, οὐ συμφύονται, οὐδὲ συνάπτον-
ται · ἐπειδὴ σὺν ὑπάρχῃ ἀπὸ τῶν ἀποσπασμάτων, ἐλαφρόν ἐστι · καὶ τρέφεται τοῦ τόπου κα-
στρία · κωλύει γὰρ αὐξάνεσθαι διὰ τὸ σεῖσθαι τὰ ἄκρα τῶν μελῶν · καὶ τῶν ὑμένων · μάλιστα ἐ-
πὶ τῶν παίδων · εἰ δὲ ἐστὶ καὶ ἀποσπάσεις εἰς τοὺς ἡλικιώτας, ἐὰν δὲ τινῶν πλησμονῶν ἢ
τὴν συνουσίαν · καὶ τὸν κόπον · καὶ ταῖς σφοδραῖς κινήσεσι · καὶ ἔχειν ἠρεμίαν καὶ ἀνάπαυσιν ·
περισφίγγειν τε τὸ ἀπόσπασμα εἰς τὸ δίωμα · μετὰ κοίλου μολίβδου, ὡς τὸ κοῖλον τοῦ
κοχλιαρίου · ποιῶν ἀεὶ καὶ σὺν δὲ ὠμῶν διαρανίων · παραγενομένων ἰσχυρῶς τὸ αἰτίω-
μα εἰς τόμα, τὸ κωλύειν ἀπὸ προσθήκης ῥήξεως · χρῖε δὲ τὰ δὲ σὺν τούτοις, τὰς κουρία
τοῦ μολίβδου · μετὰ τῶν στυπτικῶν εἰδῶν · ζευτῶν μέρος δυνάμεως διαλυτικῆς τῶν καθαρ-
μάτων, εἴθ᾿ ἂν διαρραγῇ, ὥραν καθ᾿ ὥραν · ἔσωθεν τὸ διαλαμβανόμενον, ἐξ ἄλλοις · σμύρνης λι-

βάνου ἀρρενικοῦ φησὶ τοῦ λαδάνου ἀλόης κρόκου ἀκακίας χελιδονίου ... βδελλίου καὶ
τῶν ὁμοίων· ἀναξηραίνεται τὸ ἀποπατούμενον καὶ ἐκθλίβεται ... τῶν σπλάγχνων· τοῦ δὲ
σιτίου ... ὑπάρχει τοῦτο δυσαχθὲς καὶ ἐπιβαρὺ, καὶ λύει γὰρ τοῖς πάσχουσι τὰ ἐξαπλ...
ἀθροίζεσθαι παντελῶς· καὶ ἐναντίος ἐστὶ τοῖς τοιούτοις ... καὶ ἐστὶ δυσίατον τὸ πάθος·
καὶ οὐκ ὀρθῶς τοὺς ἰατροὺς θεραπεύοντας ἐν ἑνὶ θεράπευμα τοῦτο· ἀλλὰ πολίζοντο φάρ-
μακα καθαρτικὰ καὶ διαλυτικὰ τῆς κοιλίας τὰ διώκοντα τὰ πνεύματα· ὅταν ἐξα-
πλῶνται· ὡς τοῖς κόκκοις τοῦ σαγαπηνοῦ· ἢ τοῦ βδελλίου· ἢ τὸ ξηροροφήματος διὰ
πεπέρεως· ἢ τῶν ... τῶν διὰ τῶν ἀρωμάτων· ἢ τῶν διοσπολιτικῶν· ἢ τῶν ζιγγιβέρεως ἢ τῶν ...
φεραι ... καὶ τὰ ὅμοια· χρὴ γὰρ διὰ τῶν ... καὶ ... ἀπε-
χέσθω δὲ τῶν παχυτάτων τροφῶν· τῶν γεννώντων τὰ πνεύματα· ἐφθὰ δὲ ... κέδρεα ...
ἀφε, καὶ βαλανάδης· ἔμπλαστρος ὠφελοῦσα πρὸς ἀπόστασιν ὄρχεων ... τοῦ
... τοὺς δὲ τίθεται καὶ ἐς παῖδας· καὶ ἐς γέροντας· λαβὼν μαστίχην, φλοιὸν λιβάνου, κυ-
παρισσοκονία, σμύρναν· σαρκοκόλλαν· φύλλων κυπαρίσσου· ἰχθυοκόλλαν ἀνὰ μέρος α·
κόψας σήσας· φύρασον σὺν ὀξυροδίνῳ καὶ χρῖσον ἐς ῥάκος καὶ θὲς ἐπὶ τὸν τόπον· ἢ
λαβὼν κυπαρισσοκονία· σμύρναν· φλοιὸν ῥοιῶν· ἀκακίαν· ἰχθυοκόλλαν ἀνὰ μέρη α·
κόψας σήσας, ζύμωσον σὺν ὄξει καὶ ῥοδελαίῳ καὶ θὲς ἐς πανίον, καὶ λίθη. φησὶ δὲ
ὁ διοσκουρίδης ὅτι τὰ κυπαρισσοκονία, ὠφελοῦσι τὰ διασπασθέντα· ...
νουσι τὰ χαυνωθέντα μέλη ἀπὸ ὑγρότητος· ἢ τῆς ἐποίησε τὴν χαυνότητα· χωρὶς τοῦ
ἐφέλκειν ἑτέραν ὑγρότητα ἐν τοῖς μέλεσιν· ἐνεργοῦσι δὲ καὶ τὰ φύλλα τῆς κυπαρίσσου,
ὡσαύτως· σὺν θεοῖς ἕτερον· λαβὼν σμύρναν· λίβανον χαλβάνην ἀνὰ μέρος α· κόψας σήσ-
ας, ζύμωσον μετὰ ἐλαίου τοῦ ὠοῦ, καὶ ἄλειφε τοὺς ὄρχεις· θεραπεία ὠφέλιμος ἐς κα-
... ἐπίθεμα· λαβὼν ἀκακίαν, ... κυπαρισσοκονία ἀνὰ μέρη α·
μαστίχην· λίβανον· σμύρναν· κρόκον· σαρκοκόλλαν· τραγακάνθην· λάδανον· αἷμα δράκοντος ἀνὰ
... ἀνὰ μέρη ς· κόψας σήσας, φύρασον σὺν ῥοδίνῳ ἐλαίῳ καὶ ὄξει· καὶ ποιήσας ὡς μά-
λαγμα, χρῖε· ἐς κήλην παιδίων· ὠφέλιμον· λαβὼν βδέλλιον, ἀπόβρεχε ἐν ἐψήματι
... καὶ τρίψας, χρῖε τοὺς ὄρχεις καὶ ἐστὶ δόκιμον· ἐς κήλην παιδίων θεραπευτικόν·
Λαβὼν σὺν θεῷ ἀπὸ τῶν τρυφερῶν κλάδων καὶ φύλλων τῆς κράμβης, κόψον αὐτὰ ἕως ἄκρου,
... καὶ βάτραχον, ... καὶ ... κόψας σήσας,
ἑνώσας μετὰ τῆς κράμβης, ζύμωσον μετὰ μίξεως οἴνου ἐλαίου· ἢ ῥοδίνου· καὶ εἰθ' οὕτως
ἔμπλαστρον μετὰ ῥάκους περίδησον ... καὶ πάλιν λύων, ... δεύτερον καὶ τρίτον··
ἄλλο· λαβὼν χαμαιλέοντα ὁπαλὸν ἐπὶ τῆς χειρός, ἀποπνίγεται πρὸς αὐτὸν πρὸ τῆς ἀνατολῆς
τοῦ ἡλίου, καὶ δήσας αὐτόν, κρέμασον· καὶ ὡς οὗτος ψύχεται, οὕτω καὶ ἡ κήλη ἰᾶται· ἄλλο·
λαβὼν ἐρύσιμον ῥυπαρὸν ἄπλυτον, βρέξον αὐτὸ ἐς οἶνον αὐτοῦ πολλάκις καὶ ... ἅπαξ,
ἀλλὰ καὶ πολλάκις· ὕστερον δὲ δῆσον καὶ τὸ ἔριον ἐκεῖ· ἄλλο πρὸς παῖδας καὶ τελείους·
λαβὼν ῥητίνην πευκίνην· ἀκακίαν· βδέλλιον· στύρακα· τερεβινθίνην· λίβανον, ἀνὰ ...
... τὰ δέοντα· τὰ δὲ ἄλλα λύσον μετὰ ὄξους· ἢ οἴνου καλοῦ ἢ μίξεως οἴνου ἐλαίου· καὶ ἕνωσον

ἄλλο πρὸς ...

πάντα· προσθεὶς οὖν τὸ λάδανον καὶ μαλάξας, ἔνθες· καὶ ἔασον ἡμέρας πολλάς· ἕτερον, ποιοῦν ἐπιτε-
λέσαι τοῖς μὴ χρονίσασιν· λαβὼν χρυσόκολλαν· ταυρόκολλαν· σαρκόκολλαν· ἰχθυό-
κολλαν· λίθον αἱματίτην· ῥοῦν συριακόν· ῥοῦν βυρσοδεψικόν· ἀκακίαν ἀνὰ <α· λίθον
πυρίτην· λίθον ἄπυρον· λίθον μαγνήτην καί· στυπτηρίαν σχιστήν, μάνναν λιβάνου·
ἀνὰ <α· πίσσαν βρυττίαν <ε· κοχλίας σὺν τοῖς ὀστράκοις· κνίδια· λεπίδας
στομώματος· χαλκοῦ ἄνθος ἀνὰ <α· ἑλκύσματος <δ, ἀσφάλτου <ς· οἴνῳ στύφοντι
τὰ ξηρὰ λύε· μίσγε ὑγροῖς τοῖς ἀρκοῦσι· καὶ θὲς ἐπίθεμα καλῶς· ἀπέχεσθαι δὲ φυσωδῶν
τροφῶν· καὶ οἴνου πλείονος· συνεχοῦς τε βαλανείων· καὶ πολλῆς συνουσίας· καὶ συντόμου
κινήσεως· οἷον δρόμου· πηδήσεως· βοῆς· καὶ τῶν παραπλησίων· κβ΄. περὶ ἐποχῆς ἐμμήνων·

Ἡ μήτρα, λέγεται καὶ ὑστέρα· ἢ ὅτι ὕστερον γίνεται τῶν μορίων, ἢ ὅτι ὕστερον τῶν ἄλλων
μορίων ἐπιτελεῖ τὰς ἑαυτῆς ἐνεργείας· ἐπειδὴ ὡς φυσικὸν ὄργανον ἐξ ἀρχῆς ἐνεργεῖ καθὸ
τρέφεται· δελφὺς δὲ καλεῖται, διὸ ἴσως μήτρα δελφακώδης· μήτρα δὲ καλεῖται, οἷον
μήτηρ οὖσα τοῦ ἐμβρύου, γαστὴρ δέ, ἐπειδὴ κατὰ τὴν γαστέρα· ὡς γὰρ ἡ γῆ δεχομένη σπέρ-
ματα καρπὸν ἐκβλαστάνει, οὕτω καὶ ἡ μήτρα δεχομένη σπέρμα, φύει καρπὸν τὰ ἔμ-
βρυα· ὅσοις μὲν οὐδὲν ἔσω τοῦ τεταγμένου καιροῦ, ἑκάστοτε τὰ τικτόμενα γόνιμα
γίνεται· ἐνταῦθεν μέχρι τοῦ πέρατος τούτου τοῦ τμήματος περὶ γυναικῶν διαλεχθῆναι·
πλέον γὰρ τῶν ἀνδρῶν ἔχουσι αἱ γυναῖκες· οἷον, τὸ τῆς ἐμμήνου καθάρσεως· τὸ τῆς
κυοφορίας· τῆς ἀποτέξεως, τῆς γαλουχίας· ἐπεὶ οὖν ὁδοὶ ταῦτα καὶ τὰ ὅσια· αἱ περι-
όδους φύσεις καὶ παντὸς κόσμου· πᾶσα δὲ φύσις, ἄνωθεν προέρχεται· ἡ δὲ ἀταξία
ἐκ τῆς ὕλης· διὰ τοῦτο τάττεται μὲν ἄνωθεν τὰ κατὰ φύσιν· τάττεται δὲ καὶ τὰ παρὰ
φύσιν ὥσπερ τὰ νοσήματα· οὐκοῦν καὶ ἡ κυοφορία τάξιν ἔχει τινά· καὶ ταῖς ἄνωθεν πε-
ριόδοις ἕπεται· ἔνθα ἡ φύσις κινεῖται· καὶ διαπλαστικὴ ἀγωνίζεται, καὶ ταῦτα
φύσει καὶ δυνάμεις συμπληροῦνται· οὐκοῦν ἡ περίοδος τῆς ἀποτέξεως ἡ ἐν τῷ ἑβδο-
μαδικῷ γινομένη ἢ ἐν τῷ ἐνάτῳ, τὰ ἐν τούτοις τικτόμενα γόνιμά ἐστιν, ἡ μὲν γὰρ πρὸ τοῦ
ἑβδομαδικοῦ μηνός, ἢ τοῦ ἐνάτου πλημμελεῖς· ἐξ ἀέρος γίνεται παρατροπὴ ἢ θυμω-
θείσης γυναικὸς ἢ πηδησάσης ἢ ...· διὰ ταῦτα πάντα ἀμβλωσμοὶ γίνεται· ὅτι ἐν θερμο-
τέρᾳ καὶ στερεωτέρᾳ· ὅπερ Ἱπποκράτης ἐν ἀφορισμοῖς παρέδωκε, τοῦτο ἐνταῦθα
ὁμολογοῦσιν· ὅτι τὰ μὲν ἄρρενα ἐν τοῖς δεξιοῖς μέρεσι τίκτεται· τὰ δὲ θήλεα ἐν τοῖς
ἀριστεροῖς μᾶλλον· τὴν δὲ αἰτίαν τούτου εἶναι ἐκ τῶν ἰατρῶν λέγουσιν· ὅτι διὰ τὸ θερμότε-
ρα εἶναι τὰ δεξιά· τὰ δὲ ἀριστερὰ ψυχρότερα· οὕτω γὰρ καὶ οἱ ἄνδρες, θερμότεροι εἰσίν· αἱ δὲ
γυναῖκες, ψυχρότεραι· διατί δὲ τὰ δεξιὰ θερμότερα εἰσὶ εἶναι λέγουσι διὸ ἰσχυρότε-
ρα ἐστὶ τῶν ἀριστερῶν, τὰ δὲ ἰσχυρὰ θερμά ἐστιν· ἡμεῖς δὲ λέγομεν πρὸς τοῦτο· ὅτι οὐ διὰ τὸ θερ-
μὸν ἰσχυρότερά ἐστι τὰ δεξιά· ἀλλὰ διὰ τὸ εὐκίνητον· διὰ τὸ γυμναστόν· ὅθεν δεξιὰ χεὶρ
γυμναστοτέρα οὖσα, καὶ ἰσχυροτέρα ἐστὶ τοῦ δεξιοῦ ποδός· πάλιν λέγουσιν ὅτι τοσοῦτον
θερμότερά ἐστι τὰ δεξιά, ὅτι καὶ τὸ ἧπαρ ἐν τοῖς δεξιοῖς ἐστὶ μέρεσιν· ἢ λέγομεν ὅτι ἡ καρδία
μέσον ἐστὶ τῶν θωρακίων· καὶ ἕνεκεν ἐπὶ τὰ ἀριστερὰ ἡ κοιλία αὐτῆς· ἐπὶ τούτοις οὖν ἐστ-

ποῦ τὴν ἀληθῆ αἰτίαν· ἣν ἐκ τῆς ἀνατομῆς ἐθηρώσαμεν. ἱστέον ὅτι φέρονται φλέβες
καὶ ἀρτηρίαι παρὰ τοὺς νεφρούς· αἵτινες καθαίρουσι τὸ αἷμα, ἵνα τρέφωσι τὰ μόρια. πρὸ
δὲ τοῦ ἐλθεῖν αὐτὰς εἰς τοὺς νεφρούς, μία ἐξ αὐτῶν ἀποχὴ ἐκπέμπεται παρὰ τὸν ἀριστερὸν ὄρχιν·
καὶ τὸν ἀριστερὸν κόλπον, ἥτις ῥυπαρὸν φέρει τὸ αἷμα. ἀπὸ δὲ τῶν νεφρῶν καθαροῦ γενομένου
τοῦ αἵματος, πέμπεται ἀποχὴ εἰς τὸν δεξιὸν ὄρχιν καὶ τὸν δεξιὸν κόλπον· ἥτις καθαρὸν φέρει
τὸ αἷμα καὶ θερμότερον· τὸ γὰρ καθαρὸν, θερμότερόν ἐστι τοῦ ῥυπαροῦ αἵματος. διὰ τοῦ-
το τὰ μὲν ἄρρενα ἐν τοῖς δεξιοῖς κυΐσκεται· τὰ δὲ θήλεα ἐν τοῖς ἀριστεροῖς. οὐ μόνον δὲ τὴν θέ-
σιν τῶν κόλπων τῆς μήτρας δεῖ τὴν αἰτίαν ἀποδιδόναι, ἀλλὰ καὶ τὴν ἀνδρῴαν σποράν, θερ-
μοτέραν οὖσαν καὶ ἀρρενογόνον, ἢ ψυχροτέραν καὶ θηλυγόνον. πρὸς δὲ τούτοις καὶ τὴν ἄνωθεν ῥοπὴν
δεῖ προσδέχεσθαι, πῶς γὰρ οὐκ ἄτοπον διπλασίαν δύναμιν αἰτιᾶσθαι καὶ μὴ τὴν
ἐγκράτειαν σπέρματος. τὸν δὲ δημιουργὸν μάλιστα τούτων αἴτιον· οὔτε ἄρρεν οὔτε θῆλυ
χωρὶς αὐτοῦ γίνεται. ὅθεν ἐκεῖνος καλῶς ἔφη· ᾧ τὸ θέλημα κατευοδοῖ καὶ ἤδη πάντα τε-
τέλεστο. ἔχεις οὖν τὰς αἰτίας δι' ἃς τὰ μὲν ἄρρενα ἐν τοῖς δεξιοῖς, τὰ δὲ θήλεα ἐν τοῖς
ἀριστεροῖς. τοῦτο δὲ πιστοῦνται καὶ οἱ κτηνοτρόφοι· τὰ γὰρ πρόβατα καὶ αἶγας. διὸ δὴ-
λοῦσι τὰ ἄλογα ζῶα. ἐπὰν δ' οὖν κυοφορηθῶσι, ἀναγεννοῦσιν, εἰ ὁ τόκος ἐν μὲν τοῖς δεξι-
οῖς, τὸ ἄρρεν· ἐν δὲ τοῖς ἀριστεροῖς τὸ θῆλυ. οὕτω δὲ καὶ Παρμενίδης φησίν· ἐν μὲν τοῖς
δεξιοῖς, κοῦροι· ἐν δὲ τοῖς ἀριστεροῖς κοῦραι. πλὴν κατὰ τὸ ἐναντίον καὶ ἐν τοῖς ἀριστεροῖς γε-
ννᾶται ἄρρενα ὥσπερ τὸ θῆλυ· ὁμοίως καὶ ἐν τοῖς δεξιοῖς θήλεα. ὅθεν ὁ βραχὺς λόγος Ἱππο-
κράτης, καὶ τὸ μᾶλλον διὰ φιλαυτίαν προσέθηκε. ἀρκτέον δὲ περὶ ἐμμήνων· ταῖς γυναι-
ξὶν ὅταν καταγῶσιν ἐν τῷ σώματι καὶ διὰ μηνὸς ἐπιοῦσι, καὶ ἐν τοῖς ιβ. καὶ ἔστιν ἐν ταῖς θηλείαις,
ὥσπερ ἐπὶ τῶν ἀρρένων ἐστὶν ἡ γονή, ὅταν ὀργῶσιν. ἡ δὲ αἰτία τῶν ἐμμήνων, ὑπάρ-
χει· ὅτι τὰ σώματα τῶν γυναικῶν ψυχρὰ καὶ ὑγρὰ πλέον· καὶ αὐτὰ τὰ πλεῖστα ὑγρά, οὐ-
κ ἀνάγονται καὶ κρατοῦνται τῷ σώματι· καὶ καταξέρχονται ὑπὸ κάτω τῶν μερῶν τοῦ σώματος·
καὶ ἐξέρχονται ἀπ' αὐτῶν ὡς ἐξέρχεται ἀπὸ τῶν δένδρων τὰ περιττώματα αὐτὰ διὰ τῶν
δακρύων. ἐξερχομένων δὲ τῶν ἐμμήνων κατὰ συμμετρίαν, ἐξέρχονται καὶ τὰ περιττώ-
ματα ἀπὸ τῶν σωμάτων τῶν γυναικῶν. εἰ δὲ πολλάκις μετατρέπωσι τὰ ἔμμηνα ἀπὸ
τῆς συμμετρίας, οἷον εἴτε πλημμυρήσουσι κατὰ πρόσθεσιν· ἢ οὐ στάλωσι καὶ κρα- σταλῶσι
τηθῶσι, τότε συμβαίνει αὐταῖς πλεῖστα νοσήματα, ἅμα τε πάθη, ἡ δὲ ἐποχὴ τῶν ἐμ-
μήνων· γίνεται διχῶς· ἢ φυσικῶς, ἢ κατὰ συμβεβηκός. καὶ ἡ μὲν φυσικὴ ἐποχή ἐστιν,
ὡς ἡ φθάνουσα ἐν ἔτεσι πεντήκοντα, καὶ ἑξήκοντα· καὶ ἐξ αἰῶνος ἐποχὴ πάλιν γίνεται,
ἐς τε ἐνιαυτόν· μάλιστα γε καὶ ἐπιφέρουσα ἐξ αἰῶνος καὶ ὑπεραίρουσα ἐν σώματι λι-
παρῷ. ἡ δὲ ἀπὸ τοῦ συμβεβηκότος ἐποχή, γίνεται, ποτὲ μὲν ἀπὸ τῆς αἰτίας τῆς δυνάμεως
τῆς ὕλης· ποτὲ δ' ἀπὸ τῆς τοῦ ὀργάνου αἰτίας. καὶ τὸ μὲν ἀπὸ τῆς δυνάμεως, ὁπηνίκα
τὸ μέλος κτίζεται ἀπὸ τοῦ ὄντος ἐν αὐτῷ εἴδους τῆς δυσκρασίας, τῆς φυσικῆς· ὑπὸ τοῦ συ-
μβεβηκότος· τὸ δ' ἀπὸ τῆς ὀργάνου αἰτίας, ὡς ἀπὸ τοῦ σώματος τῆς μήτρας· ἤτοι ὑ-
στέρας· ἢ ἀπὸ τῶν ἄλλων τῶν ἐναντίων· καὶ ἀπὸ μὲν τοῦ σώματος τῆς ὑστέρας, ὁπηνίκα

παρχει πηγή, πάλιν φυσικῶς, πάλιν δὲ συμβεβηκός· καὶ ἀπὸ μὲν τοῦ συμβεβηκότος,
ὡς ἐκ στενοχωρίας ἃ συμβαίνουσιν ἀπὸ τοῦ κρέατος καὶ τοῦ λίπους ἤτοι τοῦ ἀξουγγίου στε-
νοχωρούντων τὸ στόμα τῶν φλεβῶν· ἢ ἀπὸ σχήματος μὴ οὐ γινομένου, ἢ ἀπὸ χυμῶν πα-
χέων καὶ γλίσχρων· ἀπὸ δὲ τῆς ὕλης κρατοῦνται τὰ ἔμμηνα, ἢ ἐκ ποσότητος, ἢ ἐκ
ποιότητος, ἢ κινήσεως· καὶ ἀπὸ μὲν τῆς ποσότητος, ὁπόταν εἰσὶν ὀλίγα· ὀλίγα δὲ γίνον-
ται ὡς εἰ τούτων ὑπάρχει ἀπὸ οἰκονομίας λεπτῆς· ἤτοι χρήσεως, ἢ γυμνασίας πλεί-
στης καὶ βρώσεως ὀλίγης· ἢ ἀπὸ κόπου καὶ μόχθου· φησὶ δὲ Ῥοῦφος ὅτι αἱ γυναῖκες
αἱ πλεῖστα γυμναζόμεναι καὶ κινούμεναι, οὐ χρείαν ἔχουσι πλήθους τῆς καταβάσεως ἐμμήνων.
αἱ δὲ καθήμεναι καὶ ἠρεμοῦσαι καὶ ἐπαναπαυόμεναι καὶ πολυτροφοῦσαι, αὗται δέονται
πλήθους ἐμμήνων καταβάσεως· ἀπὸ δὲ τῆς ποιότητος τῆς ὕλης, ὡς ἀπὸ παχύ-
τητος καὶ γλισχρότητος· ἢ πρὸς δὲ καὶ ψύξεως, ἢ πλήθους ξηρότητος· ἐπειδὴ τὸ αἷμα
ὅταν παχυνθῇ καὶ παχυνθῇ, ἀποκλείει τοὺς πόρους καὶ οὐ δύναται κατέρχεσθαι ἀκωλύτως
καὶ ῥᾳδίως. ὡσαύτως ὁπόταν ὑπάρχει τὸ αἷμα ψυχρὸν ἢ ξηρὸν ἀπὸ τῶν χρονίων νο-
σημάτων, ἢ ἀπὸ ἀκρασίας, ἢ ἀπὸ πυρετοῦ καὶ χολῆς ξανθῆς, ἢ ἀπὸ κενώσεως καὶ τῶν
ὁμοίων· τότε οὕτως πήγνυται τὸ αἷμα ἐν ταῖς φλεψί· ποτὲ δὲ ἡ τοῦ αἵματος ἐποχὴ γίνεται, ἀ-
πὸ τῆς κενώσεως τῆς ὕλης, ὁπόταν ἐπιρρεύσῃ εἰς ἕτερον μέλος· ὡς τὸ κατερχό-
μενον εἰς τὰς φλέβας τῆς καθέδρας ἢ δι' αἱμορροΐδας· λέγει δὲ Ῥοῦφος ὅτι ἐξ αὐ-
τῶν τῶν γυναικῶν ἤ τις πολλὰ αἱμορροεῖ, οἷον ἐξ αἰτίας βηχωδῶν· ἢ ὅτι ἐξέρχεται
τὸ αἷμα αὐτῶν ἀπὸ τοῦ στήθους, ἢ ἀπὸ τῶν φλεβῶν, ταῦτα πάντα κωλύουσι τὴν κατά-
ρροιαν τῶν ἐμμήνων· αὐτίκα γε φθείρει τὰ ἔμμηνα τῆς γυναικός, ὁ θυμὸς ἢ λύπη
καὶ τὰ λοιπὰ εἴδη τῶν ὀδυνῶν τῆς ψυχῆς, οἷον φόβος καὶ θυμός· τὰ τοιαῦτα ὁμοῦ
ἐμποδίζουσι καὶ κωλύουσι τὴν κατάρροιαν τοῦ αἵματος· ὁπόταν δὲ χρονίσῃ ἡ ἐποχὴ
τῶν ἐμμήνων, γεννᾷ ἀρρωστίας ἐν τῷ στομάχῳ· καὶ τὴν ἐπιθυμίαν τῆς βρώσεως ἀμ-
βλύνει· καὶ συμβαίνει τῇ γυναικὶ ὥσπερ ταῖς ἀνδρώσαις· καὶ ἐπιθυμεῖ ἀχρήστους τροφάς· ὡς
τοὺς ἄνθρακας φημί· τὸν χοῦν καὶ τὰ ὅμοια· συμβαίνουσι δὲ ἑτέρως οὐ μὲν πόνοι τῶν χο-
ρίων τῶν λαγόνων· οἱ πόνοι καρδίας, αὐχένος, κεφαλῆς καὶ τῶν ὀφθαλμῶν· συμβαίνου-
σι δὲ καί τινες οἱ λαυροίζονται· ἐκκλίνουσί τε τὰ οὖρα αὐτῶν εἰς τὸ μελάνθεν καὶ
εἰς ἐρυθρότατα καὶ ποτὲ παρομοιοῦσιν ὕδατι κρέατος προσφάτου· τὰ δὲ σώματα αὐτῶν
καθόλου ἀχρηνῆ· συμβαίνουσι δὲ ταύταις, ἀρρωστίαι μέγισται· οἷον ὕδρωψ· ἔκλυσις· παρα-
φροσύνη ἀπὸ μελαίνης χολῆς. ὁ δὲ σοφώτατος Ῥοῦφος εἶπεν· ὅταν γινώσκῃ τὴν αἰ-
τίαν ὁ ἰατρὸς τῆς ἐποχῆς τῶν ἐμμήνων, καλῶς τὴν ἰατρείαν ποιεῖται, καὶ τὴν ἐπιτη-
δειότερον· καὶ θεραπεύει τὴν ἐποχὴν τοῦ αἵματος, καταβάλλων τὰς γεννώσας
αἰτίας ταύτην· καὶ προκαλεῖσθαι τὴν τομὴν τῆς φλεβὸς τῆς ἐν τῷ ποδί· ἤγουν τῷ ταρσῷ·
ἐπειδὴ ἡ φλεβοτομία τοῦ ποδὸς ὠφελεῖ· διότι ἕλκει τὰ ἔμμηνα εἰς τὸ μέρος τὸ ἐναντίον·
καὶ τὸ αἷμα εἰς κάτω ἀναγραμμένη ἐπὶ τὰ κάτω· ὁπόταν δὲ θέλῃς τέμνειν τὴν
φλέβα τοῦ ποδός, ποίει τοῦτο εἰς τὴν τρίτην ἡμέραν· ἢ εἰς τὴν τετάρτην, ὁπω-

τὸ σύνηθες τῶν ἐμμήνων ἔρχεται τῆς γυναικός· ἢ δι' οὐ βίασεις τῶν ἀστραγάλων· ἴσος ἀπὸ τῶν φλεβῶν
τῶν φλεβοτομίας ἡμέρας οὕτω τεμνέσθω τὴν φλέβα τοῦ ταρσοῦ· ἢ προτρεπέσθω σικύαν τοῖς
ἀστραγάλοις ἑκατέρων τῶν ποδῶν· ἐν τῇ πρώτῃ κενώσει τοῦ αἵματος ἐκβαλλομένου αἷμα ὀλίγον αὔξει τῇ
ἡμέρᾳ· καὶ τῇ δευτέρᾳ ἡμέρᾳ, πάλιν κενοῦμεν τὸ αἷμα ἐκ τοῦ ἑτέρου ποδός· κατὰ τὸ ποσὸν τῆς κε-
νώσεως τοῦ ἑτέρου ποδός· ὁ δὲ γαληνὸς ἐν ταῖς ἐπιδημίαις, ὑπομνήματα φάσκων τὸ ἔργον ὃ
διεπράξατο εἰς τὴν γυναῖκα· κεκράτηται γὰρ τῶν καταμηνίων μηνῶν ὀκτώ· κατ' αὐτὴ-
σασά τε εἰς ἄκρον ἰσχνότητος, καὶ τῆς ὀρέξεως παυσαμένης, θεασάμενος τὰ σχήματα ταῦτα, ἐκέν-
ωσε τὸ αἷμα τῆς γυναικὸς ἐν τρισὶν ἡμέραις· τῇ μὲν πρώτῃ ἡμέρᾳ ἐκένωσε λίτρας· τῇ δευτέρᾳ λίτρα
καὶ τῇ τρίτῃ οὐγγ. κ· οὕτω δὲ ποιήσαντος, μετὰ μαγικῆς μορφῆς τῆς γυναικὸς εἰς τὸ κατὰ φύσιν καὶ ἀλε-
ξία τοῦ σώματος, δι' ἡμερῶν ὀλίγων· κατάγει δὲ τὸ αἷμα τῶν ἐμμήνων, ἐπερδοίνομεν
καὶ πράξεις ἐν ἑτέραις γυναιξίν· ὡς καλαμίνθη ἡ ποταμιαία· καὶ ἡ καταπάτη· ἑψόμεναι με-
τὰ ὕδατος καὶ μέλιτος· καὶ τὸ ἀπόζεμα αὐτῶν πινόμενον· ἢ ξηραινόμεναι κοπτόμεναι καὶ
σηθόμεναι· καὶ ῥαινόμεναι ἐπὶ τοῦ μέλιτος καὶ πινόμεναι· ἡ δὲ ἀρίστη ὥρα τοῦ πίνειν
ταύτην τὴν θεραπείαν, ὑπάρχει μετὰ τὸ ἐξελθεῖν ἀπὸ τοῦ λουτροῦ· καὶ ὑποσημαχ[illegible] ὑ-
γρότητα, διὰ σαβάνου· σιγνάζεσθω δὲ τὰ βάλανα· καὶ μετὰ τὸ ἐξιέναι, πινέτωσαν σκο-
ναν χαρούβας ε· ὀρχεῖς κάστορος χαρούβας β· σὺν τῷ ὑδρομέλιτος ἢ μετὰ ἀφεψήματος
πλάκιον· εἰς δὲ τὰ τοιαῦτα πάθη, ποιεῖσθω ἡ πικρὰ ἱερά· μάλιστα, τῶν κατα-
κλασμένων μετὰ λεπτοῦ κινναμώμου· πινέτωσαν εἰς τὰ ἐκτὰ φέροντα τὰ ἔμμηνα· λέγω
δὴ τὰς ῥίζας τοῦ μαράθρου καὶ τὸ σπέρμα· καὶ τὸ ἄνισον· τῶν σελίνων· κύμινον· ἄμμι· στα-
χυς· κασσίαν· σχίνου ἄνθος· καὶ τὰ ὅμοια· ἢ πινέτωσαν τὸ ἀφέψημα τῆς ἀψινθίας καὶ τῶν
ῥιζῶν· ἢ τὸ ἀφέψημα τοῦ φασουλίου, οὐγγ. γ· ἐπιχέων ἐπ' αὐτῷ γὰρ δὲ ἔλαιον ∠ ε· ὀπο-
πάνακα ∠ ς· μιγνύων καλῶς· καὶ πινέτωσαν χλιαρόν· κινεῖ γὰρ τὰ ἔμμηνα· πινέ-
τωσαν δὲ καὶ τὴν ἀνθυλλίδα τὴν λεγομένην [illegible] ∠ α· μετὰ ἀφεψήματος τοῦ [illegible] φημὶ ἴπχου
τῆς σαβίνης· καὶ ἄνισον· πινέτωσαν δὲ καὶ ἐκ τούτων τῶν εἰδῶν·· ἔμπλασμα καταβιβάζον
τὰ ἔμμηνα λαμβανόμενον ἐν παντὶ καιρῷ· λαβὼν καλαμίνθης ποταμιαίας· καὶ ὀρίγανον·
φημὶ γλήχωνα· σίχαδα· πράσιον· σαβίναν τὴν καλουμένην [illegible]· ἀψινθίαν·
χαμαίδρυν· χαμαίπιτυν· πόλιον τὴν λεγομένην [illegible]· ἀνὰ ς β· σπέρμα μαράθρου· σε-
λίνου· ἀνίσου· ἀμμι [illegible]· δαυκοσπέρμου ἀγρίου· ῥίζαν σχινάνθης· ἀλώπιαν κό-
στου ἀνὰ ∠ β· φλοιὸν κασσίας, ἀριστολοχίαν μακράν, γεντιανῶ· κοκκοδάφνα· ῥέοσ·
σεμί φημὶ τὸ ἀποσυγίας· σύγια δὲ ἐστίν, [illegible]· ἢ ὁμοίως [illegible] -
διν· ὑπάρχει δὲ ἡ δάφνη· ἡ τρόπολις [illegible] καὶ αἱ λοιπαὶ πόλεις, αἷς οὐχ ὅμοιαι ὑπὸ τῶν
ὑφηλίων· ἐκ τούτων δὲ τῶν εἰδῶν, λαμβάνεται ἀνὰ ς α· καὶ ἑνώσας τὰ πάντα, ἀποβρέ-
χεις ὕδατι θερμῷ, λίτρ. β· ἕψησας ὀλίγον· πινέτω ἐκ τοῦ ἀποζέματος καθ' ἡμέραν οὐγγ. δ·
σὺν ἐλαίῳ τῶν δύο ἀμυγδάλων, ἤγουν πικροῦ καὶ γλυκέος· · σύνθεσις τοῦ ἑψήματος τῶν
ῥιζῶν· ἡ ῥουσία τὰ ἔμμηνα ἐστὶ δὲ τῶν μοναχοῦ τοῦ δαμασκηνοῦ· λαβὼν ῥουσίαν τῶν φρα-
φεων τῶν καλουμένων φούδια, ς δ· διώταμον ς ε· ἄνισον ς ς· δαυκόσπορον ς ε· φλοι

ῥίζας μαράθρου · σελίνου, ἀνὰ < ι · φασιόλιν ὀρούσιον · < ι · μαστίχης < γ · πρασίου γλή-
χωνα ἀμμία ἀνὰ < γ · ἑψήσας μετὰ ξε. ε. ὕδατος μέχρις ἂν ἀπολειφθῇ ξε. α ς · δίδου ποτ' ὀπί-
νετω ἀπ' αὐτοῦ τρίτον λί. χλιαρόν · σὺν ἀμυγδαλελαίου πικροῦ < α · ἢ γλυκέος < α · καὶ δοῦ-
ναι θέρμης σώματος, πινέτω μετὰ < α ἐλαίου τοῦ πενταδακτύλου · καταβιβάζει γὰρ
τὰ ἔμμηνα · σύνθεσις ξηροφαγική, δι' ἑξῆς ταύτης ὠφελεῖ αὐτὸ τὸ ἀθρόον · ὠφελοῦ δὲ ἐποχὰς
ἐμμηνίων τῶν νέων γυναικῶν · θεραπεύει μήτρας ῥεπούσας ἐς τὰ πλέα περιττώματα, ξηρὸ-
ν καθάπερ πινόμενον · καὶ ὕστερον ἀφεψημα ...ζουλαπίον · καθώσπερ πολλάκις πίνουσι
τὰ μειζο βάλανα ξηρίον · ὕστερον δὲ ζουλάπ. · λαβὼν σαβίναν · σελινόσπερμον ἀνὰ
< ι · λεπτοκιννάμωμον < ε · φλοιὸν κασσίας · στάχος ἰνδικὸν · ἀψινθίας ῥωμαϊκῆς
ἀνὰ < β · οἴνου ἄνθος · μαραθρόσπορον · ἄνισον ἀνὰ < α · ἀλώπιαν καλαμίνην · τοῦτ' ἔστι
κλαστὴν ὡς κάλαμον, καὶ τὰ ἴσον ταῖς σταθμαῖς πασῶν τῶν εἰδῶν · κόψας σήσας τὴν ἀλώ-
πιαν κατὰ μόνας, μάλαξον · μετὰ ὀξ. α ς ἀμυγδαλελαίου γλυκέος · καὶ ἀναμίξας πάν-
ὁμοῦ · ἢ ποιῶ ἐξ αὐτοῦ ὡς ξηρίον < β · μετὰ ἀφεψήματος καλαμίνθης · ἀνίσου · λινοσπέρμου
πινέτω δὲ τοῦτο, ἐκ διαλειμμάτων, τουτέστιν ἡμέραν παρ' ἡμέραν · μὴ συνεχῶς καθ' ἡμ-
καὶ αὐτὴ ἡ ἰατρικὴ κάλλιστα σύνθεσις · σπόγγων διέθεμεν τούτους, διὰ ἐποχὴν τῶν ἐμμήνων
καὶ ταλαιπωρίας τῆς μήτρας, ἀποψύξεως καὶ παχέων περιττωμάτων, ὠφελεῖ δὲ σύνθεσις
τὰς νόσους τῶν ἀρμῶν · τῶν γενομένων ἀπὸ φλέγματος καὶ μελαίνης χολῆς · οἷς ἔδωκα καὶ
εὐχαρίστησα · λαβὼν ἱερὰν πικρὰν τὴν κατασκευασθεῖσαν μετὰ πεπέρεως, < β · ἀ-
ψινθίας ῥωμαϊκῆς · ἀλώπιαν καλαμώδη, ἀνὰ < α · σκαμμωνίαν ὀπὸ πάνακος
τὸ λεγόμενον τζαουσίρ · ἀμμωνιακοῦ · σαγαπηνὸν τὸ σικβινίζ · βδέλλιον γλαυκὸν
καστόριον ἀνὰ < ς · κασσίαν · ἐπίχου · τὴν σαβίνην · μαραθρόσπορον · ἄνισον σε-
λινόσπερμα καλαμίνθης · οἴνου ἄνθος · ἀνὰ < ς · κόψας τὰ εἴδη καὶ σήσας, ἀποβρέξον
τὰ δάκρυα μετὰ ὕδατος σελίνου · καὶ μετὰ τὸ λυθῆναι, φύρασον μετὰ τῆς λοιπῆς
συνθέσεως · καὶ ποίησον κοκκία ὡς πέπερι · ἢ ἐρέβινθον · καὶ ψῦξον ἐν σκιᾷ · ἡ πόσις
ἐκ τούτων < β · μέχρις < β · κατὰ τὴν ἰσχὺν τοῦ πίνοντος μετὰ ἀφεψήματος τῆς καλαμίνθης ·
ἢ πινέτω ὀξ. ς φλοιὸν κασσίας τετριμμένον · μετὰ ὕδατος τῆς καλαμίνθης · ἢ ἐπιθέματα
ποιητέον ποιητῶ · καστόριον < ς · καὶ σμύρναν < α · ἢ θύσας ὑπόθετον ὀπὸ πάνακος κε-
κομμένον μετὰ μέλιτος · καὶ ἄλλος ἐξ αὐτῶν πινέτω μετὰ ὕδατος θερμοῦ, κατάγει γὰρ τὸ
αἷμα τῶν ἐμμήνων · καὶ ὁ κάλαμος ὁ ἀρωματικὸς, πινόμενος · ἢ ὑποτιθέμενος, ἄγει
τὰ ἔμμηνα · στάλαζε μὴ δὲ ἐν τῇ μήτρᾳ τὸ ὑκρίνου ἐλαίου, κατάγει καὶ αὐτό · χρώμ.
δὲ τῇ καλαμίνθῃ · τῷ κενταυρίῳ · τῇ γεντιανῇ · λαμβανόμενος μετὰ τοῦ κρίνου ἐλαίου καὶ ὑ-
ποτιθέμεναι · ἢ λαβὼν σμύρναν ἐρυθρὰν καὶ στυπτηρίαν σχιστὴν ἀνὰ < α · κόψας
σήσας, φύρασον μετὰ τοῦ κρίνου ἐλαίου, καὶ ὑπόθες · ἢ λαβὼν ἀψινθίαν σμύρναν κό-
ψας σήσας, φύρασον μετὰ κρίνου ἐλαίου, καὶ θὲς · ἢ λαβὼν νίτρον κατὰ μόνας κόψας σήσας
φύρασον μετὰ κρίνου ἐλαίου · καὶ ποίησον ὑπόθετον · φύραμα δὲ τοῦ γάλακτος τῆς σύκου
μετὰ τοῦ ὠχροῦ τοῦ ᾠοῦ ὅπερ ὑποβαλλέσθω γυνή, καθαίρει τὴν μήτραν καὶ ἄγει τὸ

αἷμα βουλόμενοι δὲ χρῆσθαι ἰσχαιμοῖς τοιούτοις ἀδεῖ· προτρεπόμενοι λαβεῖν ἐλατήριον ἢ ποι-
εῖν ὑπόθετον φημὶ εἰς ἔριον ἄπλυτον, σὺν μέλιτι· ἢ λαβὼν ἀψίνθιαν, κόψας φύρασον
μετ' οἴνου λευκοῦ μου· καὶ γενέσθω ἐξ αὐτοῦ ὑπόθετον εἰς τὴν μήτραν· κατάγει γὰρ τὰ ἐμμήνια·
ἢ λαβὼν σμύρναν ἐρυθρὰν· κύμινον μέλαν· καλαμίνθην ἀνὰ μέρος α· κόψας σήσας, φύρα-
σον μετ' οἴνου λευκοῦ μου· καὶ εἴθε ὑπόθετον· κατάγει γὰρ τὰ ἐμμήνια· δεῖ δὲ τοῦ ἀλείφειν
τὸ στόμιον τῆς μήτρας μετὰ κρινελαίου, ἢ ῥοδελαίου· μήπως βλαβῇ ὑστέρα ἀπὸ
τῆς θερμότητος τῶν εἰδῶν· ἢ συμβαίνῃ οἴδημα· ἢ πλῆγμα· δεῖ δὲ πάλιν χρῆσθαι
εἰς ἐποχὴν ἐμμηνίων ταῖς πυρίαις· αὗται γὰρ οὐκ ὀλίγον ὀνινῶσιν· εἰς ἃ προσφέρομεν·
εἰσὶ δὲ αὗται συγκείμεναι, ἐκ γῆς χαμαιμήλων· μυρσίνων· μελιλώτων· κασσίας· ἀ-
νήθου· ἀνίσου· καλάμου ἀρωματικοῦ· ῥίζης κρίνου· καλαμίνθης· πηγάνου, ἢ τῶν
ὁμοίων· ἐκ τούτων οὖν λαβὼν κατὰ πλάτος ποιῶ ἀφέψημα, ἕψησον μεθ' ὕδατος καλῶς, ἢ
βάψας σπόγγον εἰς τὸ ἀπόζεμα, πυρίασον μετ' αὐτοῦ τὴν μήτραν· καθεζέσθω δὲ ἡ
ἐν τοῖς ἐκείνου τοῦ ἀφεψήματος ἡ γυνή· κατάγει γὰρ τὸ αἷμα, ἢ λαβὼν τὸ σκέπας-
μα τοῦ λέβητος ἐν ᾧ ἕψηται τὰ εἴδη, τρύπησον αὐτὸ μέσον· καὶ καθεζέσθω ἐπάνω
τῶν ἡ γυνή· ὅπως εἰσέρχηται ὁ ἀτμὸς τῶν εἰδῶν ἐντὸς αὐτῆς· ταῦτα δὲ εἰσὶ τὰ εἴδη
τὰ ἄγοντα τὰ ἐμμήνια εἰς συμμετρίαν· Θεοφίλου :· περὶ αἱμορροΐδων τῶν διὰ τῆς μήτρας προερ-
χομένων κατὰ ἐμμήνια: λαβὼν πελεκίνου σπέρμα· σμύρναν· βδέλλιον· χαλβάνην·
ἀνὰ μέρος α· λύσον πάντα καλῶς καὶ ζύμωσον μετὰ μέλιτος καὶ ποίησον ὡς πεσσούς· προ-
λαβὼν δὲ ἄλειφον τὴν ὑστέραν μετὰ μύρου ἰρίνου· ἢ σουσίνου· ἢ ἀμαρακίνου· εἶτα
θὲς τὸν πεσσόν· ἢ λαβὼν ἀριστολοχίαν στρογγύλην, κόψας σήσας, ζύμωσον μετὰ μέ-
λιτος· ἢ ποιήσας πεσσούς, τίθει καθὼς προείρηται· ὑποθυμίαμα δὲ σὺν χολῇ, στύρακα
μετὰ λιβάνου· χαλβάνης· λίθον γαγάτην· ὅπερ ἐστὶ δόκιμον θυμίαμα ἐν τούτοις·
ἢ ἀριστολοχίας στρογγύλης ῥίζαν· ἢ μακρᾶς· καὶ ἀσφοδέλου ῥίζαν· ῥητίνην ξηράν·
σανδαράχην· ἀτρακτυλίδα· κόπρου αἰγός· βδέλλιον· βράθυ· καρδάμωμον·
ἀρτεμισίαν ἀνὰ Ⅎ α· ὀστῶν ἰχθύος ταρίχου ἀποξηρότατον Ⅎ ϛ· μελάνθιον· στύ-
ρακα· ἀνὰ Ⅎ β· ταῦτα πάντα κόψας, ζύμωσον μεθ' ὕδατος ἢ ποίησον τροχίσ-
κους· καὶ ξήρανον ἐν σκιᾷ· ἐπὶ δὲ τῆς χρείας, ὑποθυμία τρὶς τῆς ἡμέρας κάτωθεν
μετὰ ἀγγείου ἢ τῷ ἑτέρῳ ὁμοίως· κάλλιστα δὲ ποιεῖ καὶ τρυγία οἴνου παλαιοῦ·
ξηρὰ ἀναλαμβανομένη καὶ φυρομένη μετὰ χυλοῦ σελίνου τοῦ ἀρκοῦ· γινομένη δὲ
ὡς πεσσοὶ ἢ προστιθεμένη :· τοῦ φιλοσόφου αἱμορροΐδων καταμηνίων: λαβὼν καρ-
κίνον ποτάμιον ζῶντα· βαλὼν εἰς οἶνον· καὶ πνιγέντος αὐτοῦ, λαβὼν τὸν οἶνον, ἢ
θερμάνας, δίδου πιεῖν ἄκρατον· σὺν τὸν οἶνον· κινουμένων δὲ τῶν καταμηνίων πο-
λλά, ἔχων τὸν πνιγέντα καρκίνον κεκαυμένον, δίδου πίνειν ἐκ τῆς τούτου τέφρας τῇ γυναι-
κί· καὶ ἀδεῶς ἰᾶται :· ἄλλος περὶ αἱμορροΐδος· αὐθήμερον εἰς ὑγιείαν ἐπὶ τὸ πολύ:
λαβὼν ἀρτεμισίας χυλόν· νίτρον ἐξ ἴσου· λειώσας καὶ ἀναλαβὼν ῥοδίνῳ, χρῶ ὥσπερ ἐπὶ
σῶν μετὰ λουτρόν :· ἄλλος περὶ τῆς εἰς ἐμμήνια ὥστε θαυμάζειν· ποιεῖ δὲ καὶ ἐπὶ τῶν

Ὑστερικὸν πνιγμὸν χρονίζοντα καλλιστα· λαβὼν χαλβάνην ταυρῆς· ἀψινθίας χυλοῦ· κυμίνου· στρουθίου ῥίζαν· σμύρναν ἀνὰ < δ΄· καστόριον· ὀποβάλσαμον· κυκλαμίνου χυλοῦ, ἀνὰ < α΄· φύρασον μετὰ χυλοῦ ἀρτεμισίας· καὶ ποίησον βαλάνους, καὶ δίδου προστίθεσθαι. Ἄλλο ἔμβρυα νεκρὰ ἐκβάλλει· ἵστησι καὶ τὸ πρὸς ὑποθυμίασιν· ἔστι δὲ καὶ ἀτόκιον. Πεσσὸς ἀμφοτέροις διὰ πείρας· λαβὼν σμύρναν· βδέλλιον· ἀριστολοχίαν στρογγύλην· πήγανον· ἀρτεμισίαν· χαλβάνην· ἀσφοδέλου ῥίζαν· κύμινον μέλαν· ἀψίνθιον· στρούθιον· σαβίνας, δαυκοσπόρου σπέρμα(?)· καλαμίνθην· ἀμμι· γεντιανήν· κοκκοδάφνην· πράσιον· καστόριον· ἐλλέβορον· θύμον τὸ λεγόμενον χαα... κεδρίαν· ποίησον πεσσόν. Σύνθεσις τῆς διὰ χαρμέλ, παράγουσα τὰ ἔμμηνα· λαβὼν κώνειον(?) ὅ ἐστι τὸ χαρμέλ· ῥοῦ... λίβανον < α΄· ζουρνάβ ὅ ἐστι ζουρνουμπέδ, ῥόδων... ἀνὰ < δ΄· καρποβάλσαμον, κρόκον· δενδρολίβανον· στάχυος· μαστίχης < ι΄· ὀπίου· ζιζιβέρ· κόστου· πιπέρεως· κασσίαν ἀνὰ < θ΄· καρυόφυλλον < ς΄· ἐλλεβόρου λευκοῦ· ἄπια· ῥόδα ἐρυθρὰ ἀνὰ < θ΄· κύπειρον αἰγύπτιον < ιε΄· πίπερ μέλαν < ι΄, ἀλόης... < κ΄· κόψας σήσας καλῶς, ζύμωσον μετὰ μέλιτος τῆς καλλίστης· ἡ χρῆσις ... πρωῒ νήστει, < ε΄ ἢ ς΄ καὶ ἐκβοηθεῖ παραδόξως. Ἐνταῦθα ἀναπαραγραφὴ ... παρεμπίπτον· γέγραφα γὰρ αὐτὴν ἐν τῷ περὶ ... ἀρχῆς.

κεφ. ρκδ΄(?) Περὶ αἱμορροΐδων γυναικῶν.

Τὰ ἐπιφαινόμενα ἐν ταῖς ἐγκύμοσι γίνεται. ἐπιφαινόμενα λέγεται τὰ καταμήνια· σκοπεῖν δὲ δεῖ πόσα φέρεται τὰ καταμήνια· εἰ μὲν γὰρ κατ' ἀρχὰς ἐν τῷ πρώτῳ μηνὶ ἢ ἐν τῷ δευτέρῳ, οὐκ ἔστι χαλεπόν· εἰ δὲ μετὰ ταῦτα ὁπηνίκα πλείονος τροφῆς δεῖται τὸ ἔμβρυον ἐκχωρεῖ τὰ καταμήνια, χαλεπὸν τὸ τοιοῦτον· λιμαγχονεῖται γὰρ τὸ ἔμβρυον. φέρεται δὲ τὰ καταμήνια ἐν τῇ κυοφορίᾳ, οὐ διὰ αὐτοῦ τοῦ στομίου τῆς μήτρας· τοῦτο γὰρ μέμυκεν· ἀλλὰ διὰ τῶν ἔξωθεν τοῦ τραχήλου φλεβῶν· διὸ καὶ αἱ παρθένοι κενοῦνται. ὁμοίως δὲ ζητεῖν ... ἐπιφέρονται τὰ ἐπιφαινόμενα οὗτοι τὰ καταμήνια· εἰσὶ γὰρ τῶν γυναικῶν ἀπ' ἀρχῆς μέχρι τέλους τῆς κυήσεως φέρεται τὸ αἷμα καὶ οὐδὲν βλάπτει, διὰ τὸ πολύαιμον αὐτὰς εἶναι. οὕτω μὲν ἐξηγοῦνται, ἐὰν τὰ ἐπιφαινόμενα νοσῶσι, ἀντὶ τοῦ καταμήνια· εἰ δὲ τὰ ἐπιφαινόμενα νοσῶσι ἀντὶ τοῦ κυήματα, οὕτω ζητητέον τὰ ἐπιφαινόμενα ... ἀντὶ τοῦ κυήματα· εἰ μὲν ἤδη πρὸς τὸ τέλος γένηται, ἀγαθόν· εἰ δὲ κατ' ἀρχάς, κακόν· ζητητέον δὲ τὸ μέγεθος τοῦ κυήματος καὶ τὸ εἶδος· ἀραιὰ σφοδρότερα ἐστὶν ἢ καὶ ὑδρωπικότερα· τὸ μὲν παρὰ ... ὑδρόν, ἀγαθόν· τὸ δὲ σφοδρόν, κακόν· καὶ πάλιν τὸ εἶδος ζητητέον· οἱ γὰρ ... ἀραιῶν ... οἱ δὲ ὀξέων ... ἀγαθόν· ... καὶ τοῦτο καὶ πρόσφορος ἐστὶν ... εἰ δὲ ἀνθρώπων ἐφίενται ἢ ... ἢ ... χαλεπόν. ... ταῦτα φησὶ ὅτι τὰ μὲν δῆλα τὰ δὲ ἄδηλα ἔτι ... ἢ μὲν δὲ ἄδηλα· εἰ δὲ λέγεται ὅτι διὰ τὸ τοιοῦτον χυμὸν τὸ ἀλλόκοτον, καὶ ἀλλοίων ἐφίενται· οἱ πόνοι ἐν περιόδοις ... ὅτι ἐν ... κινεῖται ἢ ἐν τριπλοῖς τελειοῦνται ἢ ὅτι ... κινεῖται ἢ ἐν τριπλασίοις τελειοῦνται· δῆλον ... εἰδέναι, ὅτι ... τὰ συμπτώματα ... οὐ γὰρ ... ἀλλὰ τὰ συμβαίνοντα ἐν τῇ κυοφορίᾳ ... τελειοῦται ... καὶ ... ἐκ ... νοσήματος

περιόδοις ὁρίζεται· τὰ μὲν ὀξέα ἐν δ' ἢ τεσσαρεσκαίδεκα τῇ μέχρι τῆς κα'· τὰ δὲ χρόνια δ' —
ποτὲ μὲν μέχρι τῆς π' καὶ ρκ' καὶ ἐφεξῆς, οὕτω καὶ ἡ φύσις περιόδους εἶναι ἔχει, οὐ μόνον τὰ
ὀξέα νοσήματα, ἀλλὰ καὶ τὰ χρόνια ἐν μησὶν ἔχουσι τὰς περιόδους ταύτας· βουλόμενος δὲ ἄνωθεν
ποθὲν ἄρξασθαι· εἴρηται καὶ ἐν τῷ περὶ παιδίων φύσεως, ὅτι καταβάλλεται τὸ
ἀνθρώπου σπέρμα καὶ μίγνυται τῷ γυναικείῳ· πρότερον δὲ μίγνυται, εἶτα διαπλάττεται
καὶ μορφοῦται, ζωοῦται καὶ τρέφεται καὶ κινεῖται· μέχρις οὖν τῆς μ' ἡμέρας κυλλ —
λοῦται καὶ τὸ λοιπὸν αὔξεται· εἶτα ἀπὸ τῆς μ' ἡμέρας ἄρχεται καὶ κινεῖται τῷ ο' ἢ τῷ
καὶ ϙ'· τῷ ο' κινηθέν, τῷ ζ' μηνὶ ἑβδομαίῳ μηνί· εἰ δὲ τῷ ϙ', τῷ θ' μηνί· εἰ δὲ τῷ ρ', τῷ
δεκάτῳ μηνί· εἰ δὲ τῷ π' κινηθῇ, τελειοῦται τοῦτο καὶ ἐξαμβλοῦσκεται· ὅθεν καὶ ἐν τῷ
περὶ παιδίων φύσεως ἐμ[illegible] ἔχοις χρῆσθαι τῇ λέξει· μεμνημένος γὰρ ἐν αὐτοῦ, ἢ ζ' μη —
νός, ἀπὸ τῆς γενέσεως καὶ τῆς ἀποτέξεως· ὅθεν οὐδὲ μνημονεύσας ἀπὸ τῆς ἐκπτώσεως· ἀμε —
λγουσῶν καὶ οἱ Ἀλεξανδρεῖς τὸν μὲν κατευφημίας μὴ καλοῦσιν ἔλαφρον· ὥσπερ καὶ Εὐμε —
νίδας τὰς ἐριννύας· ἀλλὰ δὲ τὰ δεκαμηνιαῖα ὀκταμηνιαῖα τῆς ὀ ἡμέρας, ζ' μηνῶν· καὶ ἂν εἴη τῆς
ς' θ', οὐδὲ πολυπλασιάζουσαι ζ' καὶ τὰς θ', πληροῦται ὁ ζ' καὶ ὁ θ' μήν· ὅτι τὰ μὲν γυναικεῖα
δεξιά, τὰ δὲ ἀριστερὰ χάσκειν· γυναικεῖα πάντως λέγει τὰ ἔργα τῶν γυναικῶν· οἷον σύλληψιν κυ —
οφορίαν, ἀποτέξιν, γαλουχίαν· οὐ λέγει δὲ τὰ μόρια τὰ γυναικεῖα οἷον μήτραν, τράχηλον
μήτρας· ταῦτα γὰρ ἀεὶ μετὰ προσθήκης λέγει γυναικεῖα ἔργα· ποτὲ τὰ καταμήνια κοινῶς ὥσ —
περ καὶ ἐνταῦθα· εἶτα δὲ φησὶν εἰ παιδοποιίας ἐρᾷ, δεῖ μετὰ τὴν κάθαρσιν εὐθέως μίγνυ —
σθαι μετὰ τὴν μίαν ἢ δευτέραν τῆς κενώσεως, ὅτε οὔπω μέμυκε τὸ στόμα τῆς γαστρός· ἀλλ' —
εἰ καθαρθῇ, ἐπισκοπεῖν ποῖον μέρος ἢ ποῖος κόλπος μᾶλλον ἀνεωγμένος ἐστί· καὶ πλέον κεκαθαρ —
μένος· εἰ μὲν γὰρ ὁ δεξιός, ἄρρεν τὸ τικτόμενον· εἰ δὲ ὁ ἀριστερός, θῆλυ· χάσκειν δὲ ἀντὶ τοῦ ἀνε —
ῳγός, χαίνειν· ἐπεὶ καὶ τοὺς Ἀλεξανδρεῖς χάσκειν λέγει τὸ φαγεῖν· ὅτι θᾶττον διακρίνεται ἢ κιν —
εῖται, αὔξεται βραδύτερον· ἐπὶ πλείονα δὲ χρόνον διακρίνεσθαι λέγει, ἢ διαπλασθὲν ἐν τῇ μήτρᾳ,
ἢ διαχωρισθὲν καὶ τεχθὲν ἀπὸ τῆς μήτρας· τοῦτο δὲ λέγει, ὅτι τὸ μὲν ἄρρεν ἐν τῇ μήτρᾳ τάχιον
διαπλάττεται διὰ τὸ πολύθερμον· τὸ δὲ θῆλυ, βραδύτερον διαπλάττεται· ἐν δὲ τῇ αὐξή —
σει, τὸ μὲν θῆλυ, διὰ τὴν πολλὴν ὑγρότητα, τάχιον αὐξάνεται· τὸ δὲ ἄρρεν διὰ τὸ μέτριον
ὑγρόν, βραδύτερον αὔξει, ἐπὶ πλείονα δὲ χρόνον· τὸ αὐτὸ δὲ ἐστὶν ἰδεῖν καὶ μετὰ τὴν ἀποτέξιν·
οἱ πόνοι τριταῖοι πεμπταῖοι ἑβδομαῖοι, ἢ τὰ ἑξῆς· τοῦτο βούλεται εἰπεῖν, τὸ καὶ προ —
σθεν εἰρημένον, ὅτι αἱ περίοδοι γίνονται καὶ ἐκίνησεν· ἀμέλει κινεῖται τὸ ἔμβρυον,
κατὰ τρεῖς μῆνας· ἢ γὰρ γ' ἢ ε' ἢ ζ' κινεῖται ἐν ἀριθμοῖς μηνῶν ὁ δ' ε', καὶ πάλιν ζ' καὶ πάλιν λεῖπ
ζ' ἢ θ'· ἢ τῷ δ' καὶ ς'· καὶ τῷ ὀγδόῳ μηνὶ γίνεται· οἷον δ' ε' ς' καὶ πάλιν πολλαχοῦ
μνημονεύει ὁ θειότατος Ἱπποκράτης τῆς καθάρσεως τῶν καταμηνίων· ὅτι εἰώθασιν αἱ γυναι —
κες οἴκονται ἐν τῇ καθάρσει, ζ' ἡμέρας, ἕτεραι δέ, γ'· καὶ τοιαύτη κάθαρσις, ἐπέ —
χει ταύτας, τὸν μῆνα, ἢ ἐνιαυτοῖς καὶ μόνον τοὺς δέ, λε'· ἄλλαις καὶ μέχρι τῶν ξ' ἤγουν
γεροντικῆς ἡλικίας· οὕτω γὰρ ἐξητάσθη ὁ θειότατος Ἱπποκράτης καὶ φησίν· ὅτι ἐπὶ τῶν ὑ —
στέρων γυναικῶν εἰ μὴ ταχέα ἡ κένωσις, ἀλλ' ἐπισχεθῇ, γίνεται ὕδρωψ· ἰστέον δὲ ὅτι

μὴ ταχὺ κενωθῶσι λέγει· οὐ πρὸ παραβολὴν τῶν θερμῶν· ἀλλὰ πρὸς ἑαυτάς· ἔπειτα χρονιώ-
τερα γίνεται ἡ κένωσις τῶν φλεγματικωτέρων ἢ περὶ τῶν ξανθοχολικωτέρων· ὥσπερ καὶ ἐν τῷ
περὶ κρίσεων ὁ ἀφημερινὸς χρονιώτερος ἐλέγετο εἶναι τοῦ τριταίου διὰ τὴν διαφορὰν ὑ-
λῶν· ἐφ' ὧν τοίνυν μὴ ἐνεχθῇ ἐπὶ τούτων τὰ πάντα τὰ μέλλοντα, ἤγουν μὴ κατελθωσιν ἐν τῷ πε-
πηγμένῳ καιρῷ· ἢ πάλιν ἀτελῶς ἐνεχθῶσι· δεῖ φλεβοτομεῖν καὶ ἐπαμύνειν τῇ φύσει· οὕτω
,, γὰρ φησὶν Ἱπποκράτης· ἐν Κρανῶνι αἱ παλαιαὶ ὀδύναι ψυχραί· αἱ δὲ νέαι θερμαί· τὸ δὲ αὐτοῦ
,, τὸ νόσημα. οὐ συμφωνεῖ ἐστὶ τῇ ἐπιγραφῇ τοῦ συγγράμματος ἐπιδήμιον γάρ ἐστι καὶ ἐ-
μερικόν· ἐπειδὴ πάλαι μέμνηται τῆς πόλεως, φησὶ γὰρ ὅτι ἐν Κρανῶνι καὶ παλαιαὶ ὀ-
δύναι γεγόνασι ἢ νέαι· παλαιὰς μὲν λέγων, τὰς ἀπὸ φλέγματος γινομένας, καὶ χρόνον πο-
λὺν κρατούσας· νέας δέ, τὰς ἀπὸ θερμασίας γινομένας διὰ τὸ ὀλιγοχρόνιον τοῦ χυμοῦ·
ἢ παλαιὰς ὀδύνας λέγει, τὰς πρὸ πολλοῦ χρόνου γινομένας ἐν Κρανῶνι, ἐπὶ ψυχρᾷ κατα-
,, στάσει· νέας δέ, τὰς πρὸ ὀλίγου χρόνου γινομένας. ὀξύτερον ἐκινήθη· ἐμολύνθη· ἢ
,, βραδύτερον αὔξεται· τινὲς μὲν οὖν κατὰ τὸν λόγον, ἐχάραξαν τὸ ἐμολύνθη· καί φη-
σιν ὀξύτερον κινηθῆναι μόνον· ὁ δὲ Γαληνός φησιν ὅτι τὸ ἐμολύνθη, τὸ ἐπαύσατο λέγει· οὕτω
γὰρ ἐν τῷ δ΄ τῶν ἐπιδημιῶν φησὶν ὅτι φλεγμονὴ ἐγένετο, καὶ ἐμολύνθη ἡ ὀδύνη· τουτέστιν ἐ-
παύσατο μεταβολῆς γενομένης καὶ ῥήξεως τοῦ πύου· οὕτω γοῦν καὶ ἐνταῦθα ἐμολύν-
θη, τὸ ἐπαύσατο λέγει· εἶτα βούλεται εἰπεῖν· ἡ ἐλάττωμα καὶ πλεονέκτημα τοῦ θήλεος καὶ τοῦ
ἄρρενος· καί φησιν ὅτι τὸ θῆλυ, ταχύτερον αὔξεται διὰ τὴν ὑγρότητα, ἐπιτηδείως ἔχουσα πρὸς
ἐπίδοσιν τῶν τριῶν διαστάσεων· καὶ τὸ πλεονέκτημα· ἀλλὰ καὶ ταχέως παύεται ὅπερ
ἐστὶν ἐλάττωμα· ἐπὶ πολὺν δὲ χρόνον κινεῖται ὅπερ ἐστὶν αὐτοῦ πλεονέκτημα· οὕτω γὰρ καὶ
ἐν τῷ περὶ παιδίων φύσεως ἄρχεται· ὅτι τὸ μὲν θῆλυ, ἐν τεσσαρακοστῇ ἡμέρᾳ διαπλάττεται
τὸ δὲ ἄρρεν, ἐν τῇ λ΄ ἡμ. ἀποτίκτεται δέ, τὸ μὲν θῆλυ, τῷ θ΄ μηνί ὅπερ ἐστὶν αὐτοῦ ἐλάττωμα·
τὸ δὲ ἄρρεν, τῷ ι΄ μηνί ὅπερ ἐστὶν αὐτοῦ πλεονέκτημα· οὕτω δὲ καὶ μετὰ τὴν ἀπότεξιν·
τὸ μὲν θῆλυ, ταχίονα αὔξησιν· τὸ δὲ ἄρρεν, βραδεῖαν μέν, ἐπὶ πλείονα δὲ χρόνον· τοῦ γὰρ θή-
λεος ἡ τύχη αὔξοντος μέχρι ιη΄ ἐτῶν, τὸ ἄρρεν, αὔξεται μέχρι κε΄ ἐτῶν· καὶ ἐπὶ πλεί-
,, ονα χρόνον ὅτι ἐστερεώθη· ἀλλ' εἰ τοῦτο ὅτι στερεὸν καὶ ἰσχυρὸν καὶ θερμότερον τὸ ἔμβρυον γίνεται
διὰ τοῦτο βραδεῖαν αὔξησιν ὡς μὴ ἔχον πολλὴν ὑγρότητα· ἐπὶ πλείονα δὲ χρόνον, διὰ τὸ πο-
λὺ θερμόν· καὶ χολωδέστερον· καὶ ἐναιμότερον ἐστὶ τὸ χωρίον τῶν ζώων· μὴ εἴς νοήσῃ, ὅτι χολώ-
δη λέγει τὸ δυσκρασίαν ἔχον πολλὴν καὶ ζέσιν καὶ θερμασίαν ἄμετρον· ἀλλὰ χολῶδες λέγει·
τὸ θερμότερον μέν, οὐ μὴν τὸ δύσκρατον· καὶ τοῦτο ἐδήλωσε διὰ τὸ ἐπαγαγεῖν καὶ ἐναιμότερον·
ἔναιμον γὰρ λέγεται τὸ ἔχον πολὺ αἷμα ὥσπερ τὸ ἧπαρ· ἢ τὸ ἔχον καθαρὸν αἷμα, ὥσπερ τὴν
καρδίαν· ἢ τὸ ἁπλῶς ἔχον αἷμα ὡς πάντα τὰ ζῶα ἔναιμα λέγονται ἁπλῶς· οὕτω δὲ ἄναιμος λέγεται
ἡ κύστις, ὡς μὴ ἔχουσα αἷμα· ἐνταῦθα δὲ ἔναιμον λέγει τὸ μέρος τὸ ἔχον καθαρὸν αἷμα καὶ θερμό-
τερον ὅπερ ἐστὶ τὸ δεξιὸν μέρος· ὅθεν ἐπήγαγεν· ὅτι θερμότερον ἐστὶ τοῦτο τὸ χωρίον τῶν ζώων·
διὰ τοῦτο γάρ φησι θερμότερα μέρη τὰ δεξιά, διότι καθαρὸν αἷμα δέχεται ἡ δεξιὰ κοιλία· ἡ δὲ
ἀριστερά, ῥυπαρὸν αἷμα δέχεται· • ἡ αἱμορροΐα ἡ γινομένη ἀπὸ τῆς μήτρας ὑπὲρ τὸ δέον·

• περὶ αἱμορροΐας μήτρας :—

ἐστιν, ἀπὸ τοῦ ὀργᾶν. ὁπόταν ἀναστομωθῶσιν αἱ φλέβες τῆς μήτρας, ἢ ὡς ἀνεῳχθῶσιν,
ἢ διαρραγῶσι. καὶ ἡ ὑπάρχῃ ταχεῖα ἡ ἔκκρισις τοῦ αἵματος, ὅπερ ἐστὶν ἐρυθρὸν καὶ καθαρόν. γί-
νεται ἡ αἱμορροΐα. ἀπὸ ὕλης τὸ δὲ πλεῖστον, ἀπὸ τῆς ἠρεμίας καὶ ἀναπαύσεως. ποτὲ
δὲ διὰ ποιότητα γινόμενον τὸ αἷμα ὀξὺ καὶ χολῶδες. ποτὲ δὲ ἁλμυρῶδες ἢ φλεγματῶδες.
διαγινώσκειν δὲ δεῖ ἀλλαγὰς τῆς ὀξύτητος τοῦ αἵματος μὴ ἰσχύουσα ἡ ὑστέρα κρατεῖν αὐτό, ἀπω-
θεῖται τοῦτο. ἡ μὲν οὖν ἐστιν ἐξ ὕλης χολώδους, ἡ αἱμορροΐα ὑπόξανθός τουτέστι κιτρί-
νος, ἢ ὠχρὰ ὑπάρχει. ἡ δὲ ἐπὶ φλεγματώδει, ἡ αἱμορροΐα ὑπάρχει λευκή. ἡ δὲ ἐξ αἵματος
γίνεται, ἐστὶ τὸ αἷμα ἐρυθρόν. γίνεται δὲ ὁ τρόπος τῆς αἱμορραγίας οὕτως. Ὁπόταν
φθαρῇ τὸ αἷμα τοῦ σώματος. ἀποδιώκουσι τὰ μέλη τοῦτο διὰ τὸ φθαρτικὸν ἢ πονηρὸν τῆς αὐ-
τοῦ ποιότητος καὶ ὠθοῦσι τὰ τοῦτο, ῥέον κατέρχεται ἐν τῇ μήτρᾳ. καὶ ἀναστομοῖ τὰς φλέβας. ὁ-
πόταν πληθύῃ ἡ αἱμορροΐα καὶ τὰ ἐμμήνια, συμβαίνει τῇ γυναικὶ ἄχροος χροιά, οἰ-
δήματα ποδῶν, ἀτονία, ἀνορεξία, τῆς ἕξεως. συμβαίνει δὲ καὶ ὕδρωψ. ψύχεται γὰρ
τὸ κρᾶμα κατὰ τὴν ἐπίρροιαν τοῦ αἵματος. καὶ ἀσθενοῦσιν αἱ ἐνέργειαι αὐτοῦ. βουλόμενοι
δὲ ἐκκόψαι τὴν ὁρμὴν τοῦ αἵματος, δεῖ φλεβοτομεῖν τὴν γυναῖκα ἀπὸ τῶν ἄνωθεν μερῶν
τοῦ ἐπισπᾶν καὶ ἕλκειν τὴν ὕλην εἰς τὰ ἄνω. ὁπόταν ἐπιρρέῃ τὸ αἷμα καὶ δηλοῦσιν ἡ-
μῖν τὰ προλεχθέντα σημεῖα, ὅτι ἐξ ὕλης χολωδεστέρας ἐστί, δεῖ πίνειν τὰ καταβιβάζοντα
τὴν ξανθὴν χολήν. ἀπὸ τῶν ἀφεψημάτων καὶ ἐκλεικτῶν. ὡσαύτως ἐὰν τὸ πλεονάζον ὑπάρχῃ
φλέγμα ἢ μέλαινα χολή, δεῖ διδόναι τὰ ἐπιτήδεια φάρμακα τὰ καθαίροντα τὸν χυμὸν ἐκεῖνον
διηνεκῶς. καὶ ἄγοντα εἰς κρᾶσιν φυσικήν. μετὰ ταῦτα δὲ ὥσπερ παραμένει ἡ αἱμορ-
ῥοΐα, δεῖ θεραπεύειν μετὰ τῶν ἐπεχόντων ἰδίων. πρὸ ἀποσφίγγοντα τὰ μέλη τῆς γυναι-
κός, ἰξύος. τουτέστι σφόδρα μετὰ φασκιολίου, τὰς κνήμας, τὰς γόνατας. καὶ τοὺς
βραχίονας, καλῶς. πινέτωσαν δὲ ἐκ τῶν στυπτικῶν ἰδίων. ὡς τὴν ἀκακίαν. τὸ κεκαυμένον κοράλ-
λιον. τὸ ἀρραβικὸν κόμμι. μυρσινόκοκκα. βαλαύστια. σπέρμα ἀνδράχνης. ἀπόδιον, ἢ
ἤλεκτρον. δρακόντιον αἷμα. σὺν κηκῖδι. λημνίαν σφραγῖδα. κέρας ἐλάφου κεκαυμένον.
κοχλίαν ἀφρικανόν. κόκκους μυρσίνης. καὶ τὰ τούτοις παραπλήσια. πινέτωσαν δὲ ταῦτα,
ἁπλᾶ ἢ σύνθετα, κατὰ τὴν ἀσθένειαν καὶ ἰσχὺν τῆς ἀσθενούσης. μετὰ οἴνων κατὰ πολὺ
στυπτικῶν. ὡς τὸ ζουλάπιον τῶν ῥόδων. τῆς μυρσίνης. τῶν κυδωνίων. τοῦ ὀμφακίου. καὶ
τὰ ὅμοια. καὶ καθολικῶς λέγω ἰατρευέσθωσαν μετὰ τῆς θεραπείας τῆς τοῦ αἵματος πτύσεως.
ἢ μᾶλλον ἐκκρίσεις τοῦ αἵματος ἀπὸ τῆς κάτω κοιλίας. ὠφελεῖ δὲ σφόδρα τὰς αἱμορροούσας
κέρας ἐλάφου κεκαυμένον, καὶ ὀστοῦν φοίνικος κεκαυμένον, ἀνὰ μέρος α. κόψας σήσας, πινέτω-
σαν αὐτῶν ἡ παλαιὰ καθ' ἡμέραν, ⸓ α μεθ' ὕδατος ψυχροῦ. ὀνίνησι δὲ ταύτας, σπέρμα ἀν-
δράχνης μετὰ τῶν στυπτικῶν καταποτίων. ἡ δὲ τροφὴ ἔστω κρέα ἐρίφων. πέρδικος. τρυ-
γόνος. ὀρνιθοπούλων μετὰ ὄξους καὶ ὀμφακίου χλωροῦ. καὶ ῥοῦ συριακοῦ. ἑψημένα μετὰ ἀν-
δράχνης καὶ ἴτρου. ὄρυζαν. κάχρον καὶ τὰ ὅμοια. ἐσθιέτωσαν δὲ ὀπώρας. ῥοιδία, γλυκόα-
ξινα. καὶ μῆλα ὅμοια. καὶ κοκκύμηλα ξηρά. καὶ νάβια. κυδώνια. καὶ ἄπια καὶ τὰ ὅμοια.
ἢ καθεζέσθω δὲ ἀφεψήματι καρποῦ μυρσίνης. φλοιῶν ῥόδων. κηκίδων. μυρσίνης. ῥόδων ἢ

γάστρ. ἢ σούβερον τὸ σούβερ καὶ τὰ ὅμοια. ἡ δὲ παρακολουθοῦσα αἱμορραγία μετὰ ταῦτα, τιθέτω τὰ ὑγρὰ ἐλλύχνια τῆς συνηθείας ὑποκάτω τῶν μαστῶν αὐτῆς χωρὶς χαράξεως. καὶ συχνῶς ἑλκέτω. ἐπισπᾶται γὰρ ἡ κράτησις τοῦ αἵματος τῆς αἱμορραγούσης. μὴ συστελλομένου δὲ τοῦ αἵματος, ἐμβαλλέτω εἰς τὰ ἐντὸς αὐτῆς ἔριον μετὰ τῶν ὕδων(?) ὥς φησι Διοσκουρίδης. λέγει γάρ· ἐὰν τὸ ἔλαιον τῶν δύο σταντῶν(?) ποιήσῃ ἐπίθεμα, μετ' αὐτοῦ ἐκκόπτεται ἡ ἐπιρροὴ τοῦ αἵματος. λέγει δὲ ἐὰν λάβῃς καλλαναθίον(?) καὶ φιλάσῃς μετὰ ὄξους, καὶ ποιήσῃς ἐπίθετον, μετὰ ἐρίου, ἐπέχει τὸ αἷμα. σύνθεσις ἐπιθέματος ἁρμόζοντος εἰς αἱμόρροιαν. βάλανος ποίει καὶ τίθει. λαβὼν γράμμα(?), στυπτηρίας, κηκῖδας, λίβανον, ἀνὰ γρ. α΄. κόψας σήσας, δεύσας σὺν μέλιτι ὀμφακίνου, ἢ μετὰ χυλοῦ ἀρνογλώσσου. καὶ ποιήσας ὑπόθετον. ἑτέρα ὠφελοῦσα. λαβὼν ὑποκυστίδα, ἀκακίαν, χουῦ(?) λιβάνου, βαλαύστιον, ῥάμνου τοσοῦν(?) ἀνὰ γρ. α΄. κόψας σήσας, φύρασον σὺν ὄξει καὶ χρῶ ἐπίθετον μετὰ ἐρίου.

ἐπὶ τροχίσκων κρατούντων τὸ αἷμα τὸ ἐπίρρυτον ἀπὸ ῥήξεως φλεβὸς ἐν τῇ μήτρᾳ ἢ ἐν τοῖς νεφροῖς· προσφερόμενοι καὶ γινόμενοι ὡς ὑπόθετοι ἐν τῷ αἰδοίῳ τῆς γυναικός, καὶ πολιζόμενοι. λαβὼν βαλαύστιον, κοχλίας κεκαυμένους, ἀκακίαν, ἀνὰ γρ. β΄. κηκῖδας κεκαυμένας καὶ σβεσμένον εἰς ὄξος οἴνου, πάπυρον κεκαυμένον, δρακόντιον αἷμα, ῥοῦ συριακοῦ, τῶν περικεφαλαίων τῆς βαλάνου, πηλὸν ἀρμενιακόν, στυπτηρίαν σχιστήν κεκαυμένην, ῥάμνου ἀνὰ γρ. α΄, ὑποκυστίδος γρ. α΄, καφουρᾶς καὶ κηρᾶς β΄, ἀνὰ < ς΄. κόψας σήσας, φύρασον μετὰ χυλοῦ ἀρνογλώσσου, ἢ πολυγόνου. καὶ ποιήσας τροχίσκους ποίει ὡς νομισμάτων, καὶ πινέτω δέ, γενναίως δὲ καὶ ὑπόθετον μεθ' ὕδατος ὀμφακίνου φοίνικος, καλὸν ἐστι δέ,

καὶ ἔστι στυπτικὸν πάνυ. καὶ γίνεται πάλιν ὡς φοῖνιξ μακρὸς καὶ τίθεται ὑποκάτω, φημὶ ἐν τῇ μήτρᾳ, καὶ ἐν τῷ ἀφεδρῶνι, βαπτόμενον εἰς ῥοδέλαιον. χράσθω δὲ καὶ ἐν ταῖς ῥισὶ μεθ' ὕδατος ψυχροῦ, ἢ μεθ' ὕδατος τοῦ ὀμφακίνου φοίνικος. καὶ ὀνίνησιν εἰς τὴν αἱμορραγίαν. ἐπὶ ξηροροφήματος ἐκκόπτει τὸ αἷμα τῆς αἱμορροούσης ἐκ παντὸς τόπου. λαβὼν κοχλίας κεκαυμένους, κέρας ἐλάφου κεκαυμένον, ἀνὰ γρ. δ΄. βαλαύστιον, ἤλεκτρον, κοράλλιον, ποδίον(?), ῥόδα ἐρυθρὰ ἀνὰ γρ. β΄. κόψας σήσας, πότιζε σὺν ζαΐζου(?) γρ. α΄ καὶ πλέον μετὰ οἴνου ζουλαπίου στύφοντος. πρὸς αἱμορροοῦσαν διὰ πάτρας(?). λαβὼν φλοιὸν καστάνων, σῖτον, μίγμα(?) κόπρον βοῶν, ἐξ ἴσου, θὲς εἰς καινὸν ὀστράκινον. καὶ σκέπασον αὐτὰ καλῶς. εἶτα θὲς ἐπάνω πυρός, ἕψει κατὰ τὸ δέον καὶ καταβίβασον, πυριάτω γὰρ ἡ γυνὴ ὑποκάτω ἐν τῷ αἰδοίῳ αὐτῆς, τρεῖς ἡμέρας, καὶ βοηθεῖται παραυτά. πρὸς αἱμορραγίαν ῥινὸς διὰ πάτρας: λαβὼν μολόχην κοπάνισον αὐτὴν εἶτα θὲς εἰς τὴν ῥῖνα καὶ παύει(?).

περὶ πνιγμονῆς μήτρας:

ια Συμβαίνει ταῖς γυναιξὶ πνιγμὸς ἐν τῇ μήτρᾳ καὶ ἐλαττοῦται ἡ ὄρεξις αὐτῶν εἰς τὴν τροφήν. ψύχονταί τε τὰ σώματα αὐτῶν καὶ λειποθυμοῦσι. καὶ ὁ σφυγμὸς αὐτῶν ἀδύνατος καὶ γίνεται λεπτὸς καὶ μικρός. καὶ πολλάκις ἐκλείπει ὁ σφυγμὸς ὁλικῶς. καὶ συστελλόμεναι τίθενται τὰ πρόσωπα αὐτῶν μέσον τῶν γονάτων αὐτῶν. φησὶ δὲ ὁ Γαληνός· ὅτι εἶδε γυναῖκα συμβᾶν αὐτῇ τὸ τοιοῦτον πάθος ἢ καὶ κατὰ πολλὰ τῶν ψυχῶν

τὸν σφυγμόν, ὥσπερ ἂν λέγηται· μέσον δὲ τοῦ σώματος αὐτῆς, ἐφυλάττετο θερμὸν ὀλίγον·
καὶ ἔλεγον τῶν ἰατρῶν, ἐνόμιζον ὅτι τέθνηκεν· ἕτεροι δὲ βουλόμενοι γνῶναι σαφῶς ἀναπνεῖ, λαβοῦσαι
ἔριον ἐξαίνοντες, ἔθηκαν ἐπὶ τὴν ῥῖνα παρὰ αὐτῆς, καὶ τότε ἔγνωσαν ὅτι ἀναπνεῖ καὶ ζῇ· ἄλλοι δέ τι-
νες τῶν ἰατρῶν, τιθέασι φιάλην ὑελίνην μεστὴν ὕδατος μέσον τῆς κοιλίας αὐτῶν, καὶ
θεωροῦσιν, εἰ σαλεύεται τὸ ὕδωρ τὸ ἐν τῇ φιάλῃ· καὶ ἐκ τούτου γινώσκουσιν ὅτι ζῇ· συμ-
βαίνει δὲ τοῦτο τὸ πάθος, ἀπὸ πλησμονῆς γονῆς τῆς γυναικός· πονηρᾶς καὶ ἀχρήστου οὔ-
σης· ὅταν γὰρ κρατηθῇ ἀπὸ τῆς συνουσίας, τότε φθείρεται καὶ πληθύνει καὶ γίνεται ἡ γονὴ,
ὡς δηλητήριον, τὸ πλεῖστον δὲ συμβαίνει τὸ τοιοῦτον πάθος, ταῖς χηρευούσαις· μάλι-
στα ταῖς προγεννησάσαις πλεῖστα παιδία· συμβαίνει δὲ αὐτῇ καὶ ταῖς νεάνισιν, ὅταν
πληρωθῶσι· τοῖς δὲ ἀνδράσιν οὐ γίνεται διότι ὁπηνίκα ἐπισωρεύεται ἡ γονὴ ἐν αὐ-
ταῖς ταῖς γυναιξί, δέονται τοῦ ἐκβαλεῖν αὐτήν, ὥσπερ καὶ οἱ ἄνδρες, καὶ τοῦτο ἐκ
τῆς ἐνεργείας τῆς φύσεως· ὅτι δὲ ὑστερηθῇ ἡ γυνὴ τοῦ ἀνδρός, συνάγεται εἰς αὐτὴν
ἡ γονή· καὶ ἀφίενται ἐξ αὐτῆς ἀτμοὶ ψυχροί· εἰς τὸ καταπέταμα τῆς καρδίας.
διὰ τὸ προσομιλεῖν τὴν μήτραν τῷ καταπετάσματι· καὶ συμβαίνει ὁ ἦχος ὡσεὶ καὶ πνιγ-
μός, διὰ τὸ κεκολλῆσθαι τὸ καταπέτασμα τούτῳ μετὰ τοῦ τραχήλου καὶ τῶν τόπων τῆς
φωνῆς· γίνεται δὲ τοῦτο τὸ πάθος ἐξ ἐποχῆς ἐμμηνίων· εἰ περιωσθῇ ἡ τῶν ἐμμηνίων
ἐποχὴ μετὰ συναγωγῆς γονῆς· συμβαίνει ὁ καλούμενος πνιγμὸς γινόμενος ἀπὸ τῆς
μήτρας κατακράτος· μάλιστα δέ, ἐν τῷ φθινοπώρῳ ἢ ἐν τῷ χειμῶνι· καὶ δεῖ ἄρχεσθαι
τὴν θεραπείαν τοῦ τοιούτου πάθους τοῦ συμβαίνοντος ἀπὸ κατοχῆς ἐμμηνίων καὶ γο-
νῆς, τοῦ μαλάττειν τὰς χεῖρας τῆς γυναικὸς καὶ τοὺς πόδας αὐτῆς καλῶς μετὰ ἐλαίου· καὶ
ὀσφραίνεσθαι διὰ τῶν ἐχόντων ὄσφρησιν ἀηδῆ· οἷον ὀρχεῖς κάστορος· ὀποπάνακα· κε-
δρίαν· ἔριον κεκαυμένον· τὴν αἰθάλην τοῦ ἐσβεσμένου λύχνου· τὴν αἰθάλην τῶν τριχῶν·
καὶ τὰ ὅμοια· παρεχέτω δέ, δι᾽ ὄρχεως κάστορος· στρουθίου· ζιγγιβέρεως· πεπέρεως καὶ
τῶν ὁμοίων· καπνιζέσθω δὲ ὑποκάτω μετὰ τῶν εὐόσμων· οἷον θαλλόχου· σουμ. δι-
ὰ τὸ καταβιβάζειν τὸ περίττωμα· ῥαινέτω δὲ εἶναι τῶν εὐόσμων ἐλαίων ἐν τῇ μήτρᾳ,
ὡς τὸ κρίνελαιον· μοσχέλαιον· χαμαιμήλινον· νάρδινον· ἢ τοῦ ῥαζινί· ἵνα ἐπισπασθῇ
ἡ γονὴ εἰς τὰ κάτω· τιθέτω δὲ καὶ ὑελίνας σικύας ἐν τοῖς βουβῶσι· καὶ τοῖς δυσὶ μέρεσι
τοῦ ὑποκάτω κοιλίας· ἑλκυέσθω δὲ διὰ τῶν ὑελίων χωρὶς χαράξεως· προσταξάτω
δὲ τὴν μαῖαν, ἀλείφειν τὴν ὑστέραν ἐντὸς καὶ ἐκτός, διὰ τῶν ἀλοιφῶν τῶν προειρημένων.
πινέτω δὲ τὸ ζουλάπιον τῆς καλαμίνθης· ἢ τὴν πικρὰν ἱερὰν μετὰ τῆς ἀψινθίας· ἢ τὸν
ὑπερὸν διοσπολίτην μετὰ ὕδατος σελίνου χλωροῦ· ἢ πινέτω μίαν καζαρίνου, μετὰ
ζουλαπίου σελίνου, ἢ οἴνου· ἢ λαβεῖν ἀψινθίαν· σχίνου ἄνθος· χαμαιμήλων· ἀβρότο-
νον· μελιλωτά· μοσχάτα· ἄνηθον· καλαμίνθην· ἑψησάτω αὐτὰ τὴν μήτραν μετὰ
τοῦ ἑψήματος· ὡσαύτως καὶ τὰ ἀτμὰ τῶν βοτανῶν τιθέναι ὑποκάτω τοῦ ἀνιέναι ἐν τῇ μήτρᾳ.
πινέτω δὲ ἀπὸ τῶν ὑδάτων ξηραινόντων τὴν γονήν, καὶ καταγόντων τὰ ἐμμήνια, καθὼς
εἴπομεν ἐν τῷ δὲ τῷ λόγῳ· ὃ δὲ ἔπειτα ὁ Γαληνὸς ἐν τῷ αὐτοῦ συγγράμματι εἰς ὃ καλεῖται φαρ-

μάλα τοῦ πάθους τούτου. θεραπεία ὠφέλιμος εἰς πνιγμονὴν μήτρας, ἥτις ἐδείχθη πολλάκις ἐμπειρῶν, καὶ τῶν χαλεπῶν παθημάτων τῶν ἐξοχάδων. λαβὼν τοῦ χυλοῦ τοῦ ὑοσκυάμου καὶ τοῦ σπέρματος αὐτοῦ ἀνὰ < δ΄, ὀρχὶν κάστορος, πεπέρεως λευκοῦ, κόστου πικροῦ, ὀπίου, σμύρνης, ἀνὰ < α΄, κόψας ταῦτα πάντα, ἔχε ἐπ' αὐτοῖς οἴνου κράματος γλυκέος ἢ χρυσωδίνου [illegible], καὶ τρῖβε ἐν ἡλίῳ ἕως οὗ ταῦτα παχυνθῶσι, καὶ ποίει σὺν αὐτοῖς κυάμους ἢ ποσότητας ἐλάσσους καρύου ποντικοῦ τὸ μέγεθος· μετὰ δὲ τοῦ κράματος. ταύτην γὰρ τὴν θεραπείαν ἐδοκίμασα, καὶ χρόνον ὅτι ἐνεργεῖ.

ιβ κεφ. ιβ΄. περὶ οἰδημάτων τῶν φυομένων ἐν τῇ μήτρᾳ.

Φύεται οἰδήματα ἐν τῇ μήτρᾳ ἐξ ἀλλοδαπῶν αἰτιῶν· γεννᾶται δὲ καὶ ἀπὸ ἐπιπωμαζομένου περιττώματος χολώδους ἐν τῇ ὑστέρᾳ· καὶ γίνονται ἐκ τούτου οἰδήματα θερμά. ἔστι δὲ ὅτε γεννᾶται ἀπὸ περιττώματος παχέος μελαγχολικοῦ· γεννᾶται δὲ καὶ ἀπὸ πνεύματος παχέος ἀδιαπνεύστου· γεννᾶται δὲ καὶ ἀπὸ κρούσματος ἢ ἐποχῆς ἐμμήνων. εἴπερ οὖν ἐστὶν ἡ γέννησις τοῦ οἰδήματος εἰς τὸ ἐμπρόσθιον μέρος τῆς μήτρας, παρέπεται ταύτῃ πόνος ἐν τῷ αἰδοίῳ σφοδρὸς μετὰ κατοχῆς οὔρου. εἰ δὲ ἐν τῷ αἰδοίῳ τῆς γυναικὸς ἢ γοῦν ἐν τῷ στομίῳ αὐτοῦ, ἀκολουθεῖ τῷ οἰδήματι πόνος ἐν τῷ ὀμφαλῷ καὶ τῷ στομάχῳ· ἡ δὲ μαῖα, ἅψασα τοῦ δακτύλου αὐτῆς ἐντός, αἰσθάνεται εἰς τὸ μέρος τῆς μήτρας σκληρίας ἔνθα ἐστὶ τὸ οἴδημα, ὡς οὖν ἐστι μύκης τῆς μήτρας. εἰ δὲ ἐστὶ τὸ οἴδημα ὄπισθεν τῆς μήτρας, ἕπεται πόνος ἰσχυρὸς εἰς τὴν ψοίαν, καὶ ἐποχὴ φύσεως ἤτοι γαστρός· καὶ ὀδύνη ὑποκάτω τῶν ὑποχονδρίων. εἰ δὲ ὑπάρχει τὸ οἴδημα ἀπὸ περιττώματος ξανθῆς χολῆς ἢ ἐξ αἵματος, καί ἐστιν ἔμπροσθεν ὡς προείπομεν, ἀκολουθεῖ πυρετὸς ὀξὺς καὶ ὑπέρκαυσις ἐν τῇ μήτρᾳ μετὰ σφοδροτάτου πόνου εἰς τὸ μέρος ἔνθα ὑπάρχει τὸ οἴδημα· παρέπεται δὲ καὶ δίψα καὶ κλόνος. εἰ δέ ἐστιν ἡ γέννησις τοῦ οἰδήματος ἀπὸ περιττώματος παχέος, γίνεται τὸ οἴδημα ὁμοιῶδες σκληρόν, καὶ αἰσθάνεται βάρους ὁ πάσχων ὑπὲρ τὴν ὀδύνην· ἀκολουθεῖ δὲ σύσκλησις καὶ τέτανος, καὶ βάρος ἐν τοῖς ὄπισθεν, καὶ ἐν ταῖς κοτύλαις. εἴπερ οὖν μὴ ταχέως τὴν θεραπείαν τοῦ οἰδήματος τῆς μήτρας διὰ τῆς τοιαύτης οἰκονομίας καθαρμόζουσι, γίνεται δυσθεράπευτον· διὸ [illegible] θεραπεύεται· καὶ ἀκολουθεῖ πλῆθος ὄγκου, καὶ πόνος ἐν τῷ στομάχῳ, φύσασις δὲ ὑποκάτω τῶν ὑποχονδρίων· καὶ δεῖ ποιεῖν μετὰ ἄλλων ἀμυχὰς τὸ σῶμα. δεῖ τοίνυν πρῶτον θεωρεῖν ἐκ ποίας αἰτίας ἐγεννήθη τὸ οἴδημα. εἴπερ οὖν ἐστὶν ἀπὸ θερμότητος, ἣν δηλοῦσι τὰ προλεχθέντα σημεῖα περὶ αὐτοῦ, προσέταξον τέμνειν τὴν καθολικὴν φλέβα, καὶ ἀπολύειν αἷμα κατὰ τὴν ἰσχύν, καὶ τὴν ἡλικίαν, καὶ τὸν καιρόν. φησὶ δὲ ὁ Γαληνὸς ὅτι ὠφελοῦνται αἱ γυναῖκες αἱ ἔχουσαι οἰδήματα ἐν τῇ μήτρᾳ, τεμνομένης τῆς τοῦ ποδὸς φλεβός· αὕτη γὰρ ἐνεργεῖ ὑπερτέρου τοῦ τόπου κενοῦσα τὸ αἷμα. φησὶ γὰρ ὅτι ἡ διὰ τῆς χειρὸς φλεβοτομία, ἅμα ῥεῖν τοῦ οἰδήματος τῆς μήτρας, γεννᾷ πάθος κάκιστον· ταχέως γὰρ τὰ ἔμμηνα ἕλκουσα τὸ αἷμα καταναλίσκουσιν ἄνω. εἴπερ οὖν ἐστὶν ἡ γυνὴ δυνατή, ἐκβάλλομεν τὸ αἷμα αὐτῆς διὰ τὴν ἡμέρας, πρωῒ καὶ ἑσπέρας. εἰ δὲ ἀδύνατός ἐστιν ἡ γυνή, ἀπολύομεν ἅπαξ· καὶ τῇ ἐπιούσῃ ἡμέρᾳ, πάλιν ἀπολύομεν τὸ αἷμα. εἶτα ἐπαντλίζομεν τὰ εἴδη τὰ ὠφελοῦντα, εἴτε ἀπὸ θερμότητος τραύματι· ὥστε τὸ ὕδωρ τοῦ στρύχνου καὶ τοῦ ἁλικακάβου, ἑψημένον καὶ διυλισμένον.

μαλαχθήτω δὲ ἐν τοῖς ὕδασι τούτοις· καλάμου μέλανος ∠ ι· ῥόδου σακχάρ· κασσίας ἀνὰ ∠ ε· καὶ
σύμυτας, πινέτω· ἢ πινέτω ἕψημα τοῦ μέλανος καλάμου· τῶν ζιζίφων· τῶν μυξαρίων· ταῦ-
τα γὰρ τὰ ὅθεν καὶ τὰ ὅμοια, παύουσι τὴν θέρμην καὶ τὴν ὀξύτητα τῶν οὔρων ἀπὸ τοῦ οἰδήματος.
κἂν πλατύνηται δὲ ὅσων τούτοις τὴν μήτραν ἀπὸ τῶν ἐκτὸς ἐν ἀρχῇ μετὰ τῶν ἀποκρουστικῶν τῶν
δυναμένων τῶν τὸ μέλος· ὡς κάνθαρα(?)· ὁ στρύχνος· τὸ ἀμάραντον· τὸ ψύλλιον· τὸ ὕδωρ
τοῦ ἀρνογλώσσου· τῶν ἰντύβων· σὺν ῥοδίνῳ ἐλαίῳ· ἢ λαβὼν φακὸν ἄλαξον καὶ τὰς κριθάς,
φύρασον μεθ᾽ ὕδατος τῶν ἰντύβων· ἢ ῥοδελαίου· ἢ κατάπλαττε τὴν μήτραν· στάλαζον
δὲ ἐν τῇ μήτρᾳ λευκὸν ᾠοῦ μετὰ ῥοδελαίου καὶ χηνὸς ἀξούγγιον ἢ ὀρνίθων· εἰ δέ ἐστιν ἡ θέρ-
μη τοῦ οἰδήματος κατὰ πλῆθος, θεραπευέσθω μετὰ καταπλασμάτων σὺν ὄξει ἀπὸ ῥοδελαίου· ὕδατος
κορίου χλωροῦ· στρύχνου· ἰντύβων· κριθαλάρου(?)· σανταλου ῥουσίου(?)· ὀπίου· καὶ μέθος(?)
ἀποκρόκου· ἑνώσας τὰ πάντα, ποίησον ὡς μάλαγμα καὶ ἄλειφε ἐπὶ πολλαῖς. ὅσον δὲ ἐν-
τούτοις καὶ ἐν τῇ μήτρᾳ μετὰ ἐρίου· ὅτε ῥοῦν τὸ οἴδημα οὐ διαλύεται μηδὲ ὅτι ποιῆ, θεραπευέ-
σθω μετὰ μέθοις τῶν διαλυτικῶν· λαβὼν τοίνυν τὰ φύλλα τῆς κράμβης ἢ τῶν ἰντύβων,
κόψας καλῶς καὶ ταλάξας ῥοδέλαιον ἢ ἔλαιον, ἐκβαλέτω αὐτὸ ἡ γυνὴ μετ᾽ ἐρίου· ἢ τὰ
λαβὼν λινόσπερμον· ἀλθαίας σπέρμα· τῆλιν σπόρος, ἕψησον καλῶς ἄχρις ἂν γένωνται σπ-
σταγκ(?), σύναψον μετ᾽ αὐτῶν ἀξούγγιον χηνῶν ἢ ὀρνίθων, καὶ μέρος ὀλίγον κρόκου καὶ
βαπτίζων ἐν τούτοις ἔριον, ἐκβαλέτω ἡ γυνὴ ἐκ τῆς ὁδοῦ· ἢ λαβὼν μελίλωτον ἕψησον καὶ στ-
ψας, ἀνάμιξε μεθ᾽ ὕδατος τοῦ στρύχνου ῥοδελαίου τε καὶ λάκου τοῦ ᾠοῦ· καὶ τιθέτω μετ᾽ ἐρί-
ου δὲ καὶ ὁ Διοσκορίδης· ἐὰν ἑψηθῇ τὸ ναρδέλαιον μετὰ ὕδατος καὶ κατὰ τὰ πλάσθωσιν
αἱ γυναῖκες, θεραπεύονται ἀπὸ τῶν θερμῶν οἰδημάτων τῶν ἐν τῇ μήτρᾳ, ἐπετίθετο δὲ ὁ διὰ -
κρόκου· ἢ ὃ εἶπε Παῦλος ὅτι ἀφέτος ἐστι ἐκ τὰ θερμὰ οἰδήματα καὶ ἐκ τῶν διαφορῶν τῆς μήτρας
καὶ τὸν ὄγκον καὶ τῶν ἐμπνευμάτων τῶν συμβαινόντων ἐν τῇ μήτρᾳ. — λαβὼν κηροῦ λευκοῦ,
μυελοῦ σκέλους βοός, ἀνὰ ∠ η· μυελοῦ σκέλους ἐλάφου ∠ ς· ἀξουγγίου χηνῶν· ὀρνίθων·
καὶ κρόκου ἀνὰ ∠ δ· μαστίχης· μέλι ∠ β· οἴσυπον· στακτή· τριφθήτω ὁ κρόκος καὶ ἀναμι-
χθήτω μετὰ γάλακτος γυναικείου καὶ πάντων τῶν ἄλλων· κατὰ τὸ ἁρμόζον τίθεται καὶ ῥοδέλαιον·
καὶ χριέσθω ἔξωθεν μετ᾽ ἐρίου· καὶ ἐὰν ἐστι τὸ οἴδημα ψυχρὸν καὶ παχύ· τουτέστιν ἡ γέννη-
σις αὐτοῦ ἐγένετο ἀπὸ ψύξεως· καὶ δηλοῦται τὸ βάρος μετ᾽ ὀλίγου πόνου· καὶ τὰ ἄλλα τὰ
σημεῖα ἃ ἡ γυνὴ συνᾴδουσι, θεραπευέσθω διὰ τῶν διαλυτικῶν ἄλλων καὶ σκορπιζόντων
τὸ οἴδημα· τουτέστι πυρίας ποιουμένη μετὰ τῆλεως· λινοσπέρμου· κυδώνων· μελιλώτου·
βαλσάμου· μύσκωτων· καλαμίνθ· καὶ τῶν ὁμοίων· ἑψομένων καὶ καταπλασσομένων εἰς τὴν
μήτραν· ἐκ δὲ τοῦ ἀφεψήματος λαβὼν, ἀνάμιξον μετὰ σουσίνου ἐλαίου, ἢ ναρδελαίου·
καὶ σταλαζέτω ἡ γυνὴ ἐν τῇ μήτρᾳ· καὶ συχνάκις ποιείτω οὕτω· πινέτω δὲ τὸ ἕψημα τῶν
ῥιζῶν μετὰ τῶν δύο ἀμυγδαλελαίων· ἢ τὸ ἕψημα τῆς ἀγίναρ(?)· ἢ τοῖς κόκκοις τοῦ σινί-
πιτι· εἰσερχέσθω δὲ ἐν τῷ βαλανείῳ καὶ χριέσθω τοῖς διαλυτικοῖς μαλάγμασι καὶ ἀ-
λειφέτω τὴν μήτραν μετὰ σουσίνου· τρεφέσθω δὲ διὰ λεπτῶν τροφῶν· μὴ γενομένων περιτ-
τωμάτων ἐν τῷ σώματι· ὅπως ἵνα δὲ γνῶμεν ὅτι τὸ οἴδημα [illegible]

χρῆσθαι τοῖς πεπτικοῖς καὶ ῥηκτικοῖς ὡς ἐν τοῖς περὶ τῶν οἰδημάτων· ἀλλὰ τὴν ἔμπλαστρον τὴν ὑγρη-
μένην διὰ τελέως· λινοσπέρμου· κριθαλεύρου· σιτίνου ἀλεύρου· ἰσχάδων λιπαρῶν καὶ κόπρου
περιστερῶν, ἀνοιχθέντος δὲ τοῦ οἰδήματος, ὡς ἐπὶ δράματι ὕλην ὡς τὴν κύστιν, πολλάκις τὸ γά-
λα ὄνειον· καὶ γάλα μετὰ τοῦ σπέρματος τοῦ σικύου τοῦ πέπονος καὶ τῶν ὁμοίων· κλυ-
ζέσθω δὲ ἡ μήτρα μετὰ χυλοῦ τῆς ἑψημένης πτισάνης· μετὰ μέλιτος· καθαίρεται γὰρ τὴν μή-
τραν· καὶ ἀποπλύνεται ἀπὸ τῶν ἐκχυθέντων ὡς ἀπὸ τῶν περιττωμάτων. ἐπίθεμα ὠφέλιμον κ-
σηθέν· τὸ χρόνιον οἴδημα τὸ ἐν τῇ μήτρᾳ· λαβὼν ἀξουγγίου χηνὸς ὀρνίθων· βοὸς κηρὸν κι-
τρίνον ἀνὰ ζ'· ὤχρου τοῦ ᾠοῦ ὀπτοῦ ζε'· βδελλίου λακκοῦ ἐξαρκ'· σμύρναν ἐρυθρὰν ἀ-
νὰ γ' α'· κρόκον ς' ζ''· κόψας σήσας, φύρασον μετ' οἴνου· καὶ διαλύων τὰ ἀξούγγια μετὰ
κηροῦ καὶ σουσίνου ἢ μετὰ ῥοδελαίου, ἀνάμιξον τὰ πάντα μαλαττόμενα καὶ συμφυρούμενα καλῶς·
καὶ βάπτων ἔριον, τίθει τοῦτο ὡς τὴν αἰδοῦ, καὶ συχνάκις ποιείτω· κεφ. περὶ τῶν
τραυμάτων τῶν γινομένων ἐν τῇ μήτρᾳ.

Γίνονται τραύματα καὶ πληγαὶ ἐν τῇ μήτρᾳ, ἐξ οἰδήματος θερμοῦ ὀξυτάτου, ἢ πανούκλας
ἀνοιχθείσης· καὶ πολλάκις συμβαίνει ἀπὸ θερμοτάτου φαρμάκου, πινομένου παρὰ τῆς γυναι-
κὸς πολλάκις διὰ τὸ ἐμβρυογονῆσαι, ἢ ἀπὸ ἀπορρίψει λοχείας· τεκμήριον δέ ἐστι τῶν τραυ-
μάτων, ἡ ῥύσις τῆς ὕλης, καὶ ὁ πόνος· καὶ ἡ ὄψις τῆς μήτρας μετὰ δαπανότητος σφοδρᾶς· ὡς
ὅταν ἀναβρωσιν ἔχῃ ἡ πληγή, ὑπάρχει τὸ εἶδος τῆς ὕλης μέλαν· καὶ ἡ ὄσφρησις αὐτῆς
δυσώδης μετὰ πόνου καὶ ξέσεως· καὶ δεῖ ἐκχέειν ἐν τῷ αἰδοίῳ αὐτῆς τὰ καθαρτικὰ τῶν
τραυμάτων καὶ ἀποπαυστικὰ τῆς νύξεως, καὶ πραϋντικὰ τῆς ὀξύτητος· οἷον τὸν χυλὸν τοῦ
ἀρνογλώσσου καὶ τοῦ στρύχνου μετὰ ῥοδελαίου καὶ κλυζέτω τὴν μήτραν· ἢ λαβὼν λευκὸν ᾠοῦ γά-
λα γυναικὸς θηλαζούσης θῆλυ· ἢ γάλα αἰθιοπίσσης γυναικὸς θηλαζούσης θῆλυ· ὕδωρ ἀν-
δράχνης· ῥοδέλαιον· ἔλαιον τοῦ κολοκυνθίου ἀνὰ α'· μετὰ τούτων κλυζέτω· ἢ λαβὼν
ῥόδα ἐρυθρὰ ἐξονυχισμένα· κριθὰς κεκαθαρισμένας ια'· φακὴν κεκαθαρισμένην ἑψήσας
ὁμοῦ καὶ τρίψας, ἀνάμιξον σὺν ῥοδίνῳ ἐλαίῳ καὶ ὀλίγον λευκοῦ ᾠοῦ· καὶ κλυζέσθω· πι-
νέτω δὲ τὸ ἀφέψημα, ζιζίφων· μυζαρίων· σπερμάτων κυδωνίων· γλυκυρρίζης· ἀλθαίας
καὶ τῶν ὁμοίων· πινέτω δὲ ἔτι κόμμι ἀραβικὸν· σπέρμα ἀνδράχνης· πηλὸν ἀρμενι-
ακὸν· τραγάκανθαν· καὶ διαιτάσθω κολοκύνθα· βλῆτα· ἀνδράχνη· ἴντυβον καὶ τὰ ὅμοια·
ἐγκαθεζέσθω δὲ ἐν ἀφεψήματι φύλλων μυρσίνης· τζουλουνάρ· ῥόδων· φακῶν· φλοιῶν ῥο-
ῶν καὶ τῶν ὁμοίων. ἐὰν δὲ ὦσι τὰ τραύματα βεβρωμένα, δεῖ θεραπεύειν διὰ τῶν ὠφελούντων τὴν
ἀνάβρωσιν τῶν τραυμάτων· ὡς τὸ δράκοντος αἷμα· λίβανον· τὴν σμύρναν· τὴν λη-
μνίαν σφραγῖδα· κρόκον· τὰς δύο ἀριστολοχίας· λαμβανέτωσαν δὲ ταῦτα τὰ εἴδη, ἢ ἁπλᾶ
ἢ σύνθετα· μίσγων μεθ' ὕδατος τοῦ ἀρνογλώσσου, ἢ μεθ' ὕδατος τῆς κριθῆς· καὶ κλυζέ-
σθω ἡ γυνὴ τὴν μήτραν καὶ κρατείτω ταῦτα σὺν ἐρίῳ· καί ἐστιν ὠφέλιμον· ὠφελεῖ δὲ ὁμοίως
τὸ λαβεῖν λυκίου χυλὸν καὶ ἀκακίαν, καὶ τρίβειν καλῶς καὶ ἀλείφειν τὴν μήτραν· ἢ λαβὼν κρό-
κον, τρίψον μετὰ γάλακτος γυναικὸς καλῶς· καὶ ἀνάμιξον μετὰ κηροῦ καὶ ὀμφακίου,
λυθέντων σὺν ῥοδίνῳ ἐλαίῳ καὶ ἀξουγγίου χηνός· καὶ βάπτων ἔριον, ἐντιθέτω ὡς τὴν αἰδοῦ

ἡ γυνή· καὶ τὰ ὠφελοῦντα εἰς τὸν πνιγμὸν τῆς μήτρας· οἷον λαβὼν κρόκον· καστορίου· ἀνὰ χαρου-
βας β'. λιθαργύρου χαρούβας ς'. δαφνόκοκκα ζ'. κόψας τὰ πάντα, ἀνάμιξον μετὰ τοῦ λευκοῦ
τοῦ ὠοῦ· καὶ ῥοδελαίου, καὶ ὀλίγου οἴνου· καὶ βρέξας αὐτὰ ἔριον, βασταζέτω εἰς τὴν αἰδῶ· ἤδη
γυνὴ αἰσθάνεται ὀσμῆς τοῦ πνιγμοῦ. λαβὼν τὸν χυλὸν τῆς ἀνδράχνης καὶ λινόσπερμον καὶ φ-
ράσας καλῶς, εἶτα φύλλα παχὺ καὶ βάλανον καὶ πινέτω τραγακάνθην. σπέρμα ἀνδρά-
χνης μετὰ ὕδατος κρύερου. φησὶ γοῦν ὁ Διοσκουρίδης· ἐὰν λάβῃς ταλιν καὶ ἀναμίξῃς μετὰ ὀξου-
γγίου χοιρείου καὶ βαστάσῃ αὐτὰ ἡ γυνὴ ἐν τῇ μήτρᾳ, καὶ μάλα αὐτὴν τὴν σκληρίαν αὐτῆς ἰᾶται ταῦτα.
λέγει δὲ ὅτι καὶ τὸ τῆς σηπίας γαλακτώμενον μετὰ τοῦ ὠχροῦ τοῦ ὠοῦ καὶ ζεσθόμενον ἐν τούτῳ, καθαί-
ρει τὴν μήτραν· καὶ ἀρρ(ωσ)τήματα ἐμμένει :· ριβ' περὶ ὄγκου τῆς μήτρας καὶ μεταστροφῆς αὐτῆς·
Συμβαίνει τῇ μήτρᾳ χαυνώσεις ἀπὸ πλήσεως ὑγροῦ, ἢ ἐκ τοῦ δεῖν ὡς ἐπὶ καθέζεσθαι ἐν ψυχροῖς πρά- ιδ'
γμασιν· οἷον ἐν σανίσιν· ἢ λίθοις· ἢ μαρμάροις· ἢ ἱματίοις βεβρεγμένοις καὶ τοῖς ὁμοίοις. καὶ συμ-
βαίνει ἐκ τούτου τοῦ σφίγγωσις καὶ ὄγκος τῆς μήτρας, ἐξερχομένης ἐκ τοῦ τόπου αὐτῆς, καθὼς συμ-
βαίνει καὶ ἐν τῷ ἀφεδρῶνι, ἐξερχομένου πάλιν εἰς τὰ ἔνδον μετὰ ἀλλαττομένης ἐκ τοῦ τόπου αὐτοῦ
καὶ βιαζομένης ἀπὸ τῆς ἐξέρας ἀνάγκης ἀνάγκας ἐν τῷ καιρῷ τῆς γεννήσεως. θεραπεύουσι τοίνυν,
δεῖ πρῶτα πάντων τὴν γυναῖκα καθίζειν ὑπτίαν· καὶ σύστελλειν τὸ ἓν γόνυ ἀπὸ τοῦ ἑτέρου· καὶ
χωρίζειν τὰ σκέλη αὐτῆς· εἶτα λαβεῖν ῥάκος λινοῦν καὶ χρίειν μετὰ χυλοῦ τῆς ἀκακίας καὶ ἐπιτί-
θεσθαι κατὰ τῆς μήτρας, καὶ σὺν αὐτῷ μᾶλλον ἀναιδῶς ἐπιμεθεῖσαν, καθίζειν ἐπὶ ἀφεψήματος
τος μυρσίνης· βαλαυστίων· φλοιοῦ ῥοῶν· ἀνθέων κηκίδων· καὶ βάπτειν εἰς τὸ τοιοῦτον
ὕδωρ ῥάκος λινοῦν καὶ ἐπιτιθέναι κατὰ τοῦ στομίου τῆς μήτρας· καὶ εἰς τὸ ἐπὶ λοιπὸν καθέ-
ζεσθω· καὶ μεταστρεφέσθω τὴν μήτραν κατὰ μικρὸν ἐπὶ τὰ ἔνδον· μετὰ τὰ παρὸν, ἕως ὅ-
ταν ὑποστρέψῃ ἡ μήτρα εἰς τὸν τόπον αὐτῆς· ἀλείφειν τὴν μήτραν, μετὰ ῥοδελαίου· ἢ
μυρσινελαίου, ἢ τοῦ γλεύκους· ἢ λαβεῖν τῆς ἀκακίας τὸν χυλὸν ἢ τῆς βάτου ἢ τῶν ὀξέων ῥοῶν·
καὶ μιγνύειν καὶ χρίειν τὸ στόμιον τῆς μήτρας· ἢ πάλιν ἀρμενιακὸν τρίβειν μετὰ ῥοδοσταγ-
μάτος καὶ ῥοδελαίου, καὶ χρίειν, ἢ προσαξερα τρίβειν καλῶς καὶ ῥαίνειν ἐν τῇ μήτρᾳ·
ἢ κηκίδα· ἀκακίαν· τὸ σουλουταρ· τρίβειν λεπτῶς καὶ ῥαίνειν ἐν τῷ στομίῳ τῆς μήτρας.
τιθέναι δὲ προσκεφάλαια κάτω τῆς μήτρας· καὶ σπαργανοῦν, καὶ περισφίγγειν ὡραίως·
ταῦτα γὰρ αὖθις ὑποστρέφουσι τὴν μήτραν· περιπατείτω δὲ ἡ γυνή· ἐπεὶ ὁ πταρμὸς πολλάκις
ἔσωθεν ἐπιστρέφει καὶ ἐλαύνει τὴν μήτραν ὅθεν ἐξώλισθε. φησὶ δὲ καὶ ὁ Διοσκουρίδης ὅτι
ἡ τῶν βοῶν κόπρος καπνιζομένη κάτωθεν ἐν τῇ μήτρᾳ, διὰ ζεστῆς αὐτὴν εἰς τὸν οἰκεῖον τρόπον
ἰατρεύεσθω δὲ καὶ μαθητὴς εἰς ποῖαν θεραπείας, περὶ τῆς ἐκβολῆς τοῦ ἀφαιδρῶνος καὶ χαυ-
νώσεως αὐτοῦ :· ριε' περὶ τῆς ὠφελίμου οἰκονομίας εἰς τὰς ἀρρωστίας τὰς συνεχούσας τὰς ἐγκύμονας·
Ὁ σοφώτατος Γαληνὸς ἐν τοῖς αὐτοῦ συγγράμμασι φησὶν, ὅτι ἔστιν ὥσπερ ἡ συγκρασίς ιε'
ἐν τῇ μήτρᾳ τοῦ βρέφους ὁμοία τοῦ καρποῦ τοῦ δένδρου· ἐπειδὴ γὰρ ὁ καρπὸς ἐν ἀρχῇ τῆς
γεννήσεως αὐτοῦ πέφυκε κεντεῖσθαι· διὰ τελέχων λεπτότατων κεκραμένων· καὶ διὰ
τοῦτο ἐν τάχει ἀποσπᾶται οὗτος, ὁπόταν ἄνεμος πνεύσῃ καὶ κινεῖ τοῦτον κίνησιν σφοδράν·
ὁπηνίκα δὲ πληρωθῇ, τὸ κολλῆσαι εἰς ἰσχυρότερος ὁ καρπὸς μετὰ τοῦ δένδρου· καὶ οὐ

δὲ ποτὲ συνθλᾶται ἢ συντρίβεται· ἀπαρτίζομεν δέ· τελείως ἀποπίπτει ὥσπερ καρπὸς
ἐκ τοῦ νύξεως ξύλου βιαζούσης ἀπὸ τῶν ἔξω. λέγεται δὲ ὁ ταλμὸς ὅτι ἐπὶ τοιούτων ἐμβρύων
ἐπείγεται καὶ τὸ βρέφος ἐν ἀρχῇ τῆς τρώσεως τῆς γονῆς· ὅτι ἀσθενὴς ἀπόστασίς ἐστιν ἡ συνο-
χὴ ἅπασα ἡ κρατοῦσα· καὶ κατὰ τὸ χεῖλος τῆς μήτρας, ἐν πρώτοις. ἐὰν οὖν συμβῇ τῇ
γυναικὶ ἀποτεκεῖν· ἢ ἐπειδὰν βοήθημα κενωτικὸν ἢ φλεβοτομηθῶσιν· ἢ γενέσθαι κέ-
νωσιν ἤπερ τὸ δέον αἵματος ῥέοντος ἀπὸ τῶν φλεβῶν τῆς καθέδρας· ἢ αἱμορροΐ-
ας τῆς μήτρας· ἢ ἅπερ κίνησιν περιέχουσι μερίσιμος ἰσχύσεως ἀπὸ κινήσεως σωματι-
κῆς ἢ ψυχικῆς, διαρρήγνυται τότε ἡ συνοχὴ τοῦ βρέφους ἡ μετὰ τῆς μήτρας ταχέως. ὥσπερ
δὲ ὑπάρχει ἡ διαρμογὴ τοῦ βρέφους ὅπως ἵνα τέλειον ἀπαρτισθῇ, τὸ δὲ διάστημα τοῦ και-
ροῦ τὸ μέσον τῶν δύο ὡρῶν· ἔστιν ἡ συνοχὴ τοῦ βρέφους μετὰ τῆς μήτρας καὶ ὡς ἐκ τούτου
ὑποφέρει ἡ κυουμένη ἐν τῷ καιρῷ τούτῳ, κίνησιν μετ' ἰσχύος ἀνάγκη τοῦ πεπονθέναι
βλάβην ἵνα τὸ βρέφος· καὶ ἐπὶ τούτου ἐν ἀρχῇ τῆς συλλήψεως αὐτῆς· μάλιστα ἀργῆς
μηδὲν περὶ τροφῶν· μὴ πολυσιτουμένης ἐν αὐτῷ τῷ καιρῷ· πολλάκις γὰρ ὀρέγεται
τι ἐξ αὐτῶν ἀτόπως εἰς ἐπιθυμίαν. καὶ ἐπὶ τούτου τιτρώσκει· ὅθεν ἐπιθυμηθὲν πρᾶγμα
ἐν αὐτῷ τῷ καιρῷ ἀγνοούμενον, δεῖ προσποιεῖσθαι αὐτὴν ὃ ἐπιθυμεῖ· καὶ περιβαλλέτω
τοῖς στομάχοις τῶν κυουμένων· μετὰ ναρδελαίου, ἢ τῆς μαστίχης, ἢ τῆς ἀψινθίας· ἢ
μετά τινων τῶν μυριστικῶν ἐμπλάστρων, μάλιστα ἐν ἀρχῇ τῆς συλλήψεως. πλησι-
αζούσας δὲ τῇ λοχείᾳ ἤτοι γεννήσεως, δέον χρᾶσθαι τῷ ἐλαίῳ τοῦ βαλάνου χρι-
ομένην μετὰ τῶν μαλακτικῶν ἐλαίων· καὶ τρέφεσθαι τροφαῖς λιπαραῖς. ἐὰν
δὲ συμβῇ ταῖς κυουμέναις φύματα ἐν τοῖς βουβῶσι, μαλαχθήτωσαν μετὰ ῥοδελαίου
σὺν κηρῷ καὶ μετ' ὄξους ἐξ οἴνου· καταπλασσέσθωσαν μετ' ὄξους κεκραμένου καὶ ὕδατος.
ἢ χρισάτω μετὰ τῆς κιμωλίας μετ' ὄξους ἀπ' οἴνου· καταπλασσέσθω δὲ καὶ τοὺς πό-
δας μετ' ἑψήματος τῆς κράμβης καὶ τοῦ καισσούμ. ἐὰν δὲ συμβῇ ταῖς κυοφορούσαις
ἐπιθυμία πονηρῶν βρωμάτων· χρὴ γυμνάζεσθαι τὸ σῶμα αὐτῶν καὶ κινεῖσθαι συμ-
μέτρως καὶ πίνειν ἀνθοσμίαν οἶνον· τρεφέσθωσαν ἄρτῳ εὐζύμῳ καὶ λαμβανέτωσαν
μετὰ τῶν βρωμάτων ῥόας καὶ κυδώνια καὶ ἀπίδια. ὅπως ἵνα δὲ ζητῶσι πηλὸν καὶ ἄν-
θρακα, ὀδυνάτωσαν ἐρέβινθοι πεφρυγμένοι καὶ κύαμοι ὠμοί. καὶ θαλπέτω τὸν στόμα-
χον αὐτῆς μετὰ τῶν ἐμπλάστρων καὶ ἡδέων καὶ ἄλλων. πινέτω δὲ τὸ ζουλάπιον τῶν
κυδωνίων. καὶ γὰρ τὰ ἀρώματα καὶ τὰ κοσμάρια φυλάττουσι τὰ βρέφη καὶ δυνα-
μοῦσι τὸν στόμαχον. ἐὰν δὲ καὶ τὰ περιττώματα ἐν τῷ σώματι ταῖς κυουμέναις ὑπάρ-
χουσι κίνησιν, δεῖ μεταλαβεῖν φαρμακοποσίας ὅπως ἵνα τὸ ἔμβρυον ἀφίκηται εἰς
τετραμηνιαῖον καιρόν· μέχρις ἀνακαταστήσῃ εἰς ἑπταμηνιαῖον· οὗτος γάρ ἐστιν ὁ μέσος
καιρὸς ἀφ' οὗ συνέχεται τὸ βρέφος μετὰ τῆς μήτρας καὶ κατέρχεται ὑγιὲς καὶ στερεόν·
ἔξωθεν δὲ τὸ φάρμακον, ἀδιάθετον, καὶ ἄκολον. ἐὰν δὲ συμβῇ τῇ κυουμένῃ ἐμπυή-
ματα ἐν τῇ καθέδρᾳ ἢ ἐν τῇ μήτρᾳ ἢ ἐν τῷ στομάχῳ, δεῖ ἐπιμελεῖσθαι τῶν διαλυτικῶν αὐ-
τοῦ, μήπως γένηται ἀφορμὴ ἐκτρώσεως τοῦ βρέφους. • ςτ ξηροφαγήματος ὠφε-

λυτικὰς ἡμῖν ποιοῦσας, ἀποδείξω ἀπαύστους ἀνέμους καὶ δυνάμεις ταῖς μήτραις αὐτῶν·

λαβὼν ζαδούαρ, δουρουνὶζ, σπέρμα σελίνου ἀνὰ < β΄, καστόριον < α΄, λίβανον, ἄμμι ἀνὰ < ϛ΄, σάκχαρ < η΄, κόψας σήσας τὰ πάντα, δὸς πιεῖν τῷ δεομένῳ καθ' ἡμέραν < α΄ μέχρις ϛα καὶ τὰ τῶν χρειῶν· ἀπὸ Θεοφίλου· ἄλλο καλὸν ὠφελοῦν ἐξ ἀνέμων γινομένων ἐν τῇ μήτρᾳ καὶ ἐν τῷ στομάχῳ τῶν ἡμῶν· ἐπέχει δὲ τοῦ μὴ ἐκτιτρώσκειν, καὶ ἀποφράττει τοὺς πόνους· καὶ ἔστι ταχυνὸν ἐκ πείρας·

λαβὼν σελινόσπερμα, μαραθρόσπερμα, ἄμμι, ζιγγίβερι ἀνὰ < β΄, μαστίχην, καρυόφυλλον, ἄσαρ, καὶ χρυσὸν μικρὸν ἀνὰ < α΄, λεπτοκιννάμωμον, καρύον ἰνδικόν, καστόριον, ζαδούαρ, ἀκόρου ἀνὰ < ϛ΄, σάκχαρ < δ΄, κόψας σήσας φύρασον μετὰ μέλιτος ἀπαφρισμένου, καὶ δὸς καὶ πινέτω καθ' ἡμέραν < α΄ μέχρις ϛα μετ' οἴνου· ἔστι δὲ τοῦτο δεδοκιμασμένον· ... περὶ δὲ τόκου γυναικῶν:

Ὁκόσοισιν ἐξ ἀποφθορῆς· παραδέδωκε ταῦτα τὰ λόγια τοῖς Ἱπποκράτους ἐξηγηταῖς, φέρε λοιπὸν ιε
ἐξ αὐτῶν τῶν ἱερῶν μυστηρίων χωρήσωμεν καὶ ἐπὶ τὰ ἄδυτα τῶν Ἱπποκράτους θεωρημάτων. ἀλλὰ πρότερον συνῆθες εἶναί τινι κοσμοῦμεν πρὸς ὑμᾶς· ἔστι δὲ αὕτη, ὁπηνίκα ἄρχομεν διαφόρους γραφάς, οὐκ ὀφείλομεν ἁπάσας ἐπεξέρχεσθαι, ἀλλὰ τὰς ἀληθεστέρας· ὁπηνίκα δὲ εὕρομεν λέξεις διαφόρους τὸ αὐτὸ δηλούσας, δεῖ ἡμᾶς τὰς περιττὰς ἀποτρίβεσθαι καὶ ἁπλῶς αἱρεῖσθαι ἢ τὰς ἀρχαιοτέρας ἢ τὰς πιθανωτέρας ἢ τὰς ἀληθεστέρας. ἐπεὶ δὲ συνήθεια καὶ τοῖς ἐξηγηταῖς πρότερον τὰς λέξεις σαφηνίζειν, δεύτερον ἐπάγειν τὴν διάνοιαν τοῦ παντὸς λόγου, καὶ τρίτον, τὴν διαπόρησιν, εἴτε ἀληθές ἐστι τὸ λεγόμενον εἴτε ψευδές, καὶ ταῦτα πάντα διὰ παντὸς τοῦ προκειμένου συγγράμματος ὑμῖν παραδέδοται. ἀρξώμεθα δὲ ἀπὸ τοῦ πρώτου· ἀρχὴ τοίνυν ἐξ αὐτῶν τῶν ῥητῶν, διάφορος φέρεται ἡ γραφή· εἰσὶ γὰρ οἱ γράφουσιν, ὁκόσοισιν· εἰσὶ δὲ ὁπόσοι· τινὲς δὲ ὅσοισιν· ἀλλ' οὖν δέ, πᾶσαι αἱ γραφαὶ τὸ αὐτὸ σημαίνουσι· πλὴν ὅτι ἡ μὲν διὰ τοῦ κ γραφή, ἰωνική ἐστιν, ἡ δὲ διὰ τοῦ π, κοινή· καὶ ταῦτα μὲν ἐν τῇ πρώτῃ λέξει. ὁμοίως καὶ ἐν τῇ δευτέρᾳ διαφορὰ φέρεται· οἱ μὲν γὰρ λέγουσιν ἐξ ἀποφθορῆς· οἱ δέ, ἀποφθορῆς, δύο λέξεις ποιοῦντες· τήν τε ἀπὸ πρόθεσιν καὶ τὴν φθοράν· πάλιν δὲ καὶ ἐν τῇ τρίτῃ λέξει ἐστὶ διαφωνία· εἰσὶ γὰρ λέγουσι περὶ ὑστέρων· εἰσὶ δὲ καὶ ὑστέρας· ἀλλ' οὐδὲν ἐναλλάττει τὸ σημαινόμενον. ἐπειδὴ ταῦτα ἀρκούντως, φέρε λοιπὸν καὶ ἑκάστην λέξιν σαφηνίσωμεν, ἵνα τὴν ὅλην τοῦ λόγου διάνοιαν ἀπαρτίσωμεν· φθορὰν τοίνυν καὶ ἀποφθορὰν λέγει τὴν πρόωρον ἔκκρισιν τοῦ ἐμβρύου, τουτέστι τὸ ἄμβλωμα ἢ τὴν ἔκτρωσιν· εἰ δὲ λέγει οἴδημα, οἱ μὲν παλαιοὶ πάντες, οἱ δὲ νεώτεροι λέγουσι τὸν ὄγκον τὸν ἐπὶ φλεγμονῇ συνιστάμενον· ὁ δὲ Ἱπποκράτης οἴδημα λέγει τὸν ὄγκον μετὰ φλεγμονῆς· καρηβαρίαν δὲ λέγει τὴν ὀδύνην τῆς κεφαλῆς τὴν μετὰ βάρους γινομένην· εἰσὶ γὰρ διαφοραὶ ὀδυνῶν· ἔστι γὰρ πονώδης ὀδύνη, νυγματώδης, καὶ σκολοπώδης· βρέγμα δὲ καλεῖται, τὸ μεταξὺ κείμενον ὀστοῦν τῆς κορυφῆς καὶ τοῦ μετώπου· ἁπλῶς δὲ ἐπὶ τῶν κορυφὴν καλουμένων, ποιεῖ τὸ βρέγμα καὶ μέτωπον ἐχόμενον. ἀλλ' ἐπειδὴ ἑκάστην λέξιν ἐσαφηνίσαμεν, ἐπάγωμεν λοιπὸν τὴν διάνοιαν Ἱπποκράτους· ἔστι δέ, αὕτη δὲ ἡ ... ὑπερβέβληνται ... μήτρας:

καὶ πρῶτον μέν ἐστιν αὕτη· ἐὰν μετὰ τὸ ἐκτρῶσαι γυναικὶ μὴ ἐνεχθῇ ἡ λοχεία κάθαρσις, ἀλλὰ γένηται
καρηβαρία, λοιπὸν τὸ συμπέρασμα, ὅτι τὸ βρέγμα μάλιστα ὀδυνᾶται. ἡ δὲ δευτέρα
διάνοια· καὶ τὸ συμπέρασμα ὡς ἐν ὑποθέσει τῆς πρώτης διανοίας λαμβάνει καὶ ὕ-
στερον ἐπιφέρει συμπέρασμα. ἔστι δὲ τοιαύτη· ἐὰν ἐπὶ γυναικὶ γένηται ἐκτρῶσις καὶ μὴ ἐ-
νεχθῇ ἡ λοχεία κάθαρσις, ἀλλὰ γένηται καρηβαρία καὶ ὀδύνη μάλιστα τοῦ βρέγματος, λοιπὸν
τὸ συμπέρασμα, ὅτι ἐν τῷ [illegible] μὴ τοιαύτη (?) φέρεται ἡ ὕλη. αὕτη μέν ἐστιν ἡ
διάνοια τοῦ Ἱπποκράτους. ζητοῦμεν οὖν τίς ἀληθής ἐστιν ἢ τίς ψευδής. ζητοῦμεν δέ, διατί
γίνεται κεφαλαλγία, καὶ διατί τὸ βρέγμα μάλιστα ὀδυνᾶται. καὶ λέγουσιν ὅτι κεφαλαλ-
γία διὰ τοῦτο γίνεται, ἐπειδὴ ὁ ἐγκέφαλος συμπάσχει τῇ μήτρᾳ ὡς νευρώδει οὔσῃ· τὸ
βρέγμα μάλιστα ὀδυνᾶται, ἐπειδὴ τὰ ἔμπροσθια μέρη τῆς μήτρας πεπόνθασιν·
εἰ γὰρ τὰ ὀπίσθια μέρη τῆς μήτρας πάσχουσι, τότε καὶ τὰ μέρη τοῦ ἐγκεφάλου κατὰ ἰνίον
συμπάσχουσι τῇ μήτρᾳ. καὶ ταῦτα μὲν ἔνιοι λέγουσιν. ἐνιστάμεθα δὲ πρὸς αὐτοὺς
λέγοντες· ὅτι οὐ διὰ τῶν εἰρημένων αἰτιῶν συμπάσχει ὁ ἐγκέφαλος τῇ μήτρᾳ· οὔτε
δέχεται αὐτὴ πόθεν νεῦρα· τῶν γὰρ νεύρων, τριττή ἐστιν ἡ γένεσις· τὰ μὲν γὰρ ἐξ ἐγκε-
φάλου καὶ νωτιαίου προέρχονται, καὶ καλοῦνται προαιρετικά· τὰ δὲ ἐκ τῶν ὀστέων ἐκ-
φύονται καὶ καλοῦνται συνδετικά· τὰ δέ, ἀπὸ περάτων εἰσὶ τῶν μυῶν, καὶ
καλοῦνται τένοντες· ἡ οὖν μήτρα, οὔτε προαιρετικὰ δέχεται νεῦρα, οὔτε συνδετι-
λ ὅτι κά, οὔτε τένοντας· διατί δὲ νευρώδης καλεῖται; λέγομεν διὰ τὴν ὁμοιότητα· ὥς-
περ γὰρ τὰ νεῦρα ἐκτείνονται καὶ συστέλλονται, οὕτω καὶ ἡ μήτρα. ἀλλ' ἐπειδὴ τὴν ἐκείνων
δόξαν ἀνατρέψαμεν, εἴπωμεν ἡμεῖς τὴν ἀληθῆ αἰτίαν. διὰ τί ὁ ἐγκέφαλος συμπάσχει
τῇ μήτρᾳ καὶ διατί τὸ βρέγμα μάλιστα ὀδυνᾶται. ὁ μὲν οὖν ἐγκέφαλος συμπάσ-
χει τῇ μήτρᾳ, ἐπειδὴ ἔχει ἡ μήτρα ἀρτηρίας τὰς φερομένας παρὰ τὴν ὀσφύν· αἱ δὲ
τῇ ὀσφύϊ εἰσὶν ἀπὸ περάτων τοῦ νωτιαίου· ὡς οὖν φλεγμαίνει ἡ μήτρα,
φλεγμαίνουσι καὶ τὰ ἀρτηρίαι (?)· ἐν τάχει συνεχῶς ἔσται ὁ νωτιαῖος· καὶ διὰ τοῦτο πάσχει
ὁ ἐγκέφαλος. δευτέρα δέ ἐστιν αἰτία τοῦ εἰρημένου πάθους· ὅτι ἐὰν μὴ γένηται
κάθαρσις ἐπὶ τὰς λοχείας, ἀλλὰ κρατηθῇ τὸ αἷμα καὶ σαπῇ· καὶ ἀναχθῇ (?) πυρετός (?),
ἐκ γῆς (?) τῆς τούτου θερμασίας ἀναλυθέντες χυμοί, ποιοῦσι πνεύματα (?)· ὥσπερ ἀναφερόμενοι
παρὰ τὸν ἐγκέφαλον, ποιοῦσι κεφαλαλγίαν. τὸ δὲ βρέγμα πάσχει μᾶλλον διὰ τὴν
αἰτίαν ἣν ἐροῦμεν. ἰστέον ὅτι ἐπὶ τῇ ἐπισχέσει τῆς λοχείας καθάρσεως γινομένου
πυρετοῦ, οὐ μόνον αἱ φλέβες πάσχουσιν, ἀλλὰ καὶ ἀρτηρίαι· αἵτινες ἐκ τῆς καρ-
δίας ἐκφυόμεναι, φέρονται παρὰ τῶν λοιπῶν τοῦ ἐγκεφάλου· καὶ κατὰ τὸ [illegible]
τὸ βρέγμα ἀνέρχονται· καὶ οὕτω γίνεται ἡ ὀδύνη κατὰ τὸ βρέγμα. δευτέρα ἐστὶν αἰτία,
ὅτι τὰ ὀπίσθια μέρη τοῦ ἐγκεφάλου σκληρότερά ἐστι καὶ πυκνά· ὅπου καὶ τὰ λιθοειδῆ
ὀστᾶ· τὰ δὲ ἔμπροσθια, ἀραιότερα καὶ σπογγώδη· καὶ διὰ τοῦτο τὸ βρέγμα ὡς ἀ-
ραιότερον καὶ ἁπαλώτερον δεχόμενον τὰ περιττώματα μᾶλλον ὀδυνᾶται. τρίτη δέ ἐστιν
αἰτία, ὅτι τὰ μὲν ὀπίσθια μέρη, δυσπαθῆ εἰσί· τὰ δὲ ἔμπροσθια, εὐαισθη-

τὴν κώζερα· καὶ διὰ τοῦτο μᾶλλον βλάπτεται τὸ βρέγμα· οὐ μόνον δὲ ἐστὶ τὸ βρέγμα τὸ δυνάμενον, ἀλλὰ πάντα τὰ μέρη τῆς κεφαλῆς, μάλιστα δὲ τὸ βρέγμα· διὰ τοῦτο γὰρ καὶ τὸ μάλιστα ἐπιμέμφεται ὁ Ἱπποκράτης· τί δέ ἐστι τὸ [illegible] μῶας· τοῦτο γὰρ ἀπορεῖται ὁ Γαληνὸς δι᾽ ἐν τῷ θαυμαζόμενος φησίν, ὅτι ἀδιανόητός ἐστιν ὁ λόγος· τινὲς οὖν λέγουσιν [illegible] τὴν ἀπὸ κινήσεως· ἐν τούτῳ γὰρ κινεῖται ἡ ὕλη, καὶ φέρεται παρὰ τὸ ἰσχίον· ἐπειδὴ καὶ τὸ ἔμβρυον τότε στρέφεται ἐπὶ τὴν κεφαλὴν ἵνα δι᾽ αὐτῆς κατὰ φύσιν γένηται ἡ ἀπότεξις· καὶ τότε κινεῖται ἡ ὕλη καὶ φέρεται παρὰ τὸ ἰσχίον· τινὲς λέγουσιν ὅτι [illegible] λέγει τὴν ἀπὸ τοῦ ἀμβλασμοῦ· καὶ πιστοῦται τοῦτο ἐκ τοῦ εἰπεῖν αὐτὸν ἐξ ἀποφθορῆς· εἴτε οὖν διὰ τοῦτο εἴτε τὸ πρῶτον εἶπεν, φησὶν ὅτι σκοπήσωμεν ἐπὶ τῶν ἔργων τῆς τέχνης εἰ τοῦτο γίνεται· καὶ ἀποδώσομεν τὰς αἰτίας· λέγομεν οὖν ὁ Γαληνός, ὅτι ἐγὼ ἐργασάμενος τὰ ἔργα τῆς τέχνης καὶ πολὺν χρόνον διατρίψας ἐν τῇ πείρᾳ, οὐχ εὗρον τοιοῦτον πώποτε· εἰ δὲ καὶ εὗρον, ἅπαξ· τὸ δὲ ἀναγκαῖον αἰτίας οὐκ ἔστιν [illegible]· τί οὖν λέγομεν ὅτι παρεντέθηται τοῦτο τὸ ῥητὸν· καὶ οὐκ ἔστιν Ἱπποκράτους γνήσιον· ταῦτα δὲ ἔχει ἡ παροῦσα θεωρία.

Ὀψιγόνα τοίνυν καταντῆσαι ἡ γυνὴ ἐν τῷ καιρῷ τῆς φυσικῆς γεννήσεως, ἐὰν ὁ βορειά, συμβαίνει τῇ γυναικὶ ὀδύνη τῆς κυοφορίας· καὶ τότε κινεῖται κίνησιν σφοδροτέραν· τὸ ὀψιγόνον δέεται τροφῆς τὸ ἔμβρυον καὶ διανοίγεται ἡ μήτρα ἐπὶ τοῦ· καὶ ἀποπέμπει τὸ παιδίον ἡ ἐκκριτικὴ δύναμις τῆς μήτρας· καὶ ἀποβάλλει τὸ ἐπίπλον· καὶ πολλάκις συμβαίνει τῇ γυναικὶ δυστοκία· καὶ αὕτη γίνεται ἐκ πολλῶν αἰτιῶν· καὶ ποτὲ μὲν συμβαίνει ἀπὸ φοιτήσεως λιπαρῶν· ποτὲ δὲ ἀπὸ στενώσεως πολλῆς τοῦ στομίου τῆς μήτρας ἢ ἀπὸ [illegible] αὐτῆς· ποτὲ δὲ ὁ ὀψιγόνος ἀποθνήσκει βρέφος καὶ οὐ κινεῖται μηδὲ μίαν ἔχον ἐνέργειαν ἐν τῷ καιρῷ τῆς ἐξελάσεως· γίνεται δὲ πάλιν ὁ ὀψιγόνος συλλαμβάνει ἡ γυνὴ καὶ ἐστὶν [illegible]· καὶ εἰ ἐστὶν ὥρα χειμερινή· συστέλλει τὸ ψῦχος τοὺς πόρους τοῦ σώματος· οὐ ῥαδίως δὲ τελεῖται ἡ γέννησις τῆς γυναικὸς ἀπὸ τῆς θερμότητος τοῦ θέρους· ἐπειδὴ γὰρ τότε ὑπάρχει θερμὸς ὁ ἀήρ, καταλύει τὴν δύναμιν τὴν ἐνεργοῦσαν εἰς τὸ ἀπῶσαι τὸ βρέφος ἀπὸ τῆς μήτρας· δεῖ τοίνυν ὀψιγόνου συμβῇ τῇ γυναικὶ δυστοκία, προστάττειν ἐγκαθίσαι ἀφεψήματι [illegible] ἀλθαίας καὶ τοῦ [illegible] σπέρματος λινοσπέρμου καὶ κριθῆς κεκαθαρισμένης· ἀλείφειν δὲ τὰς κοτύλας καὶ τὰ ὑποκοίλια μετὰ τῶν ὑγραινόντων τῶν ἀλειφῶν· καὶ διαλυτικῶν· ὡς τὸ σησάμελαιον· τὸ [illegible]· χρίειν δὲ καὶ τὰς πλευρὰς καὶ τοὺς νεφρούς· [illegible]· πίνειν δὲ καὶ τὸ ὀξύμελι· ἢ πίνειν ἀδίαντον κεκομμένον καλῶς μετ᾽ οἴνου· ἢ [illegible] μετ᾽ οἴνου· ἢ πίνειν ἀψινθίαν ῥωμαϊκὴν μετὰ [illegible] γλήχωνος· πεσσάριον δὲ κινεῖν μετὰ [illegible]· καὶ περιπατεῖν· καὶ ὠθεῖν καλῶς εἰς τὸ πρόσω· καὶ καταφέρεσθαι κατὰ μικρόν· τοῦτο γὰρ ἄριστον ἐστὶν ἔργον ταῖς δυστοκούσαις· ὁ δὲ Ἱπποκράτης, ἐστὶ τοῦ λαβεῖν πέτραν σκληρὰν καὶ κρεμᾶν ἐπὶ τῶν [illegible] τῆς γυναικὸς φησὶ τῶν [illegible]· ἢ λαβεῖν ἀψινθίαν· καὶ κρεμᾶν ὁμοίως· [illegible] θεραπείας εἰς τὰς δυστοκούσας γυναῖκας· [illegible] ὁ Γαληνὸς ἐν τῷ [illegible] ἐν τῷ λόγῳ [illegible] φαρμάκων, ὅτι αὕτη ἡ θεραπεία ὠφελεῖ [illegible] σκορπίου [illegible] σκληρία·

λαβὼν κόνεως πεπέρεως λευκοῦ λ', σμύρναν, καστόριον, στύρακα ἀνὰ ς α', κύμινον, σε-
λινόσπορον, ἀνίσου, ἀνὰ ς γ', κόψας σήσας, φύρασον μετ' οἴνου· καὶ ποιήσας ἐξ αὐτῶν σφαι-
ρία μετὰ θ' οὐ οἴνου, ἐπίδος ἐν τῇ ὥρᾳ τοῦ δήγματος· χρήσιμος εἰς ὠφέλειαν. —

ιζ'. περὶ τῶν ἐκβαλλόντων τὰ ἔμβρυα καὶ τῶν φθειρόντων ἐν τῇ μήτρᾳ. —

ιζ Ἀναγινώσκων τὰς τῶν παλαιῶν ἀνδρῶν βίβλους τῶν γραψάντων περὶ δυνάμεως τῶν ἁπλῶν
φαρμάκων, καὶ τῆς τούτων ὠφελείας καὶ βλάβης, εὗρον δυνάμεις βοτανῶν φθειρόντων τὰ κυ-
ήματα ἐν τῇ μήτρᾳ, καὶ κωλυόντων συλλαμβάνεσθαι, καὶ ἕτερα εἶναι ἐκτιτρώσκοντα τὰ βρέφη καὶ ἐκ-
βάλλοντα ἀπὸ τῆς μήτρας. δέον τοίνυν ἔκρινα ἐν τούτῳ τῷ τόπῳ λέξαι τὰς ὕλας τῶν τοιού-
των φαρμάκων, ὅπως γνῶσιν οἱ ἄνθρωποι χρώμενοι τούτοις ὅτι φαρμακεύουσι τὰ βρέφη καθὼς
προγέγραπται, καὶ ἀποφεύγωσιν. ἐν τούτοις ἡ ἰτέα ἐνέργειαν δηλοῦται τοῦ μὴ συλλαμβάνεσ-
θαι· φησὶ γὰρ ὁ Διοσκουρίδης ὅτι ἡ συνεχῶς χρωμένη ταύτῃ οὐ κυΐσκεται· ὁ πύρεθρον δὲ
καὶ ἡ χρησαμένη ταύτῃ ὑποθέτω, κτείνει τὰ ζῶντα ἔμβρυα καὶ ἐκβάλλει τὰ τεθνεῶτα.
ἡ δὲ σαβίνη καλουμένη [illegible] κτείνει τὸ ἔμβρυον ἐν τῇ κοιλίᾳ καὶ ἐκβάλλει τὸ τεθνη-
κὸς, καὶ κινναμώμινος, ὅπερ [illegible], ἀπορρίπτει τὸ ἐν τῇ κοιλίᾳ αὐτῆς. λαβὼν δὲ θερ-
μία πικρὰ καὶ ἀναμίξας μετὰ [illegible] καὶ μέλιτος, ἐὰν προσθῇ ἐν αὐτοῖς, κατάγει τὰ ἔμμηνα
καὶ τὸ ἔμβρυον. λαμβανόμενος δὲ καὶ τοῦ ἀλύσσου τῶν θερμιῶν ἐμπλάστρου, ἐκβάλλει τὸ ἔ-
μβρυον. ὁμοίως καὶ ἡ ῥίζα τῆς γεντιανῆς πινομένη ἢ ὑποτιθεμένη, κτείνει τὸ ἔμβρυον.
φησὶ δὲ καὶ ὁ Διοσκουρίδης ὅτι ἡ μακρὰ ἀριστολοχία πινομένη ὁλκῆς ἀνὰ ς α' μετὰ πεπέρεως καὶ σμύρ-
νης, καθαίρει τὰ νοσοῦντα ἀπὸ τῶν κεκρατημένων περιττωμάτων ἐν τῇ μήτρᾳ, καὶ ἄγει τὰ
ἔμμηνα, καὶ ἐκβάλλει τὸ ἔμβρυον. ἡ δὲ αὐτὴ προστεθεῖσα ἐν τῇ μήτρᾳ αὐτῆς πράττει τὰ
ὅμοια. τὸ λεπτὸν κιννάμωμον καπνιζόμενον παρὰ τῶν συλλαμβανόντων, κτείνει τὰ ἔ-
μβρυα. ὁ χυλὸς τῆς ἀψινθίας ἀλειφόμενος ὑπὸ τοῦ ὀμφαλοῦ, κτείνει τὰ ἔμβρυα
καὶ ἀπορρίπτει. ὁμοίως μίγνυμένου τοῦ τοιούτου χυλοῦ σὺν μέλιτι καὶ ὑποτιθεμένου,
ποιεῖ τὰ ὅμοια. ὁ χυλὸς τοῦ ἐλατηρίου φθείρει τὰ κυούμενα προστιθέμενος μετρίως. ὡσαύ-
τως καὶ ὄρχις κάστορος μετὰ καλάμου ποταμίας, καὶ ὀρίγανος. ἐπὶ δὲ ὁ γλήχων καὶ
τὸ κενταύριον τὸ μέγα ῥινὸν ποτιζόμενον καὶ γινόμενον χρῖσμα ὑποθετοῦ καὶ προστιθέμενον
ἐν τῇ μήτρᾳ, κινεῖ τὸ αἷμα καὶ ἐκβάλλει τὸ ἔμβρυον. τὸ δὲ μικρὸν κενταύριον τὸ λεπτὸν
προστιθέμενον, φέρει τὸ αἷμα καὶ ἕλκει τὸ ἔμβρυον. λαμβανόμενος δὲ τοῦ σπόρου τῶν πράσων,
καὶ τοῦ καρδαμώμου ἀνὰ ∠ β', ποτιζόμενα καὶ συντιθέμενα καὶ φερόμενα μετὰ κεδρίας, τιθέμενα
τῇ μήτρᾳ μετρίου βεβρεγμένου ἐν ὕδατι τῆς καλαμίνθης τῆς ποταμίας, ἀγόνους ποιεῖ τὰς
γυναῖκας καὶ τὰ κυούμενα φθείρει. ἐὰν δὲ ἐν ὠθήσει κώνειον μετὰ τῆς ἐντεριώνης τῆς κο-
λοκύνθης κεκομμένον καὶ μεμιγμένα μετὰ κεδρίας, καὶ ἐπιχρίσαι τὴν γυναῖκα μετὰ τὸ ἀπο-
καθαρισθῆναι αὐτὴν ἀπὸ τοῦ αἵματος, κωλύεται συλλαμβάνειν. ἀπορρίπτει τὸ βρέφος τὸ ζῶν
καὶ τὸ τεθνηκὸς ἀπὸ τῆς μήτρας. ὁ δὲ καλούμενος λαμπὶ φησὶ τὸ ἄνθος τριβόμενον μετὰ κη-
ρίου καὶ ὑποτιθέμενον, κωλύει πήγνυσθαι τὰ κυούμενα. ὡσαύτως καὶ ὁ Διοσκουρίδης κρατούμενος
παρὰ τῆς γυναικὸς πρὸ τῆς συνουσίας, ἐπέχει τοῦ συλλαμβάνεσθαι. χριόμενος δὲ τοῦ και-

μετὰ κηκῖδος ἢ χυλοῦ, ποιοῦσι δὲ τὸ ἔργον. τὰ δὲ φύλλα τῆς καλαμίνθης λειούμενα ὑποτιθέμενα, κατα-
γνύουσι τὰ ἔμβρυα καὶ καθαίρουσι τὰ ἔμμηνα. ὑποτιθέμενος δὲ ὁ θύμος ἑψημένος μετὰ μέ-
λιτος, κατάγει τὰ ἔμμηνα καὶ ἐκβάλλει τὸ ἐπίπλοον καὶ τὰ βρέφη. πολλάκις γὰρ ἐξέρ-
χεται τὸ βρέφος καὶ ἀπομένει τὸ ἐπίπλοον ἔνδον καὶ παρὰ δηλοχεῖα. ἐκ δὲ ἴρεως ῥίζης τοῦ
κυανοῦ κρίνου καὶ τοῦ μέλιτος γινομένου ἐπομφαλίου καὶ ὑποτιθεμένου, καταγνύει
τὸ ἔμβρυον καὶ ἐκβάλλεται. ἡ δὲ ῥίζα ἑψομένη ὑποτιθεμένη μετὰ τῆς ἀψινθίας, ἢ με-
τὰ θερμίου ἀλεύρου ἢ μετὰ χυλοῦ πηγάνου, κατάγει τὰ ἔμμηνα καὶ ἐκβάλλει τὰ ἔμβρυα.
ὑποτιθέμενον δὲ τὸ πέπερι ὡς μετὰ τὴν συνουσίαν, κωλύει συλλαμβάνεσθαι. καπνιζομένης
δὲ τῆς γυναικὸς μετὰ ὀποπάνακος ἢ ὑποτιθεμένου τούτου, κατάγει τὰ ἔμμηνα καὶ τὰ ἔ-
μβρυα. καὶ ἡ στυπτηρία ὑποτιθεμένη ὀλίγη ἐν τῷ στόματι τῆς μήτρας πρὶν τῆς συνουσίας,
ἀτόκιός ἐστι. καὶ πολλάκις ἐκβάλλει τὸ ἔμβρυον. καπνιζομένη δὲ ἡ γυνὴ μετὰ ἀσφάλτου ἢ πη-
ρου, ἀπορρίπτει τὸ βρέφος. ὡσαύτως ἐὰν καπνισθῇ μετὰ ἐλαίου τοῦ τὸ ἄφρον τοῦ νίτρου. πί-
πτει ὁ καρπός. καὶ ἡ ῥίζα τοῦ ἐρυθροδάνου τοῦ γνωριζομένου τοῖς βαφεῦσιν ὑποτιθεμένη
κτείνει τὸ ἔμβρυον καὶ κινεῖ τὸ αἷμα. ταῦτα τὰ φθόρια τὰ ὀξυτόκια καὶ ἐκβάλλοντα
τὰ βρέφη :· ἢ ἔκ ποτε πρὸ τοῦ ἐκβαλεῖν τὸ ἐπίπλοον ἀπὸ τῆς μήτρας :

ὀδμαὶ περιποιοῦσαι ἐμπιπλᾶσαι ... μεταβολαὶ ἐξ οἴνου :

Περὶ ὀσμῶν ἐν ταύτῃ τῇ διαλέξει ὁ Ἱπποκράτης. ἀλλ' οὐ ... τῶν ξηροτέρων. τῶν πο-
λλάκις ... ἀρκεῖται γὰρ ὅτι σώματα τὸ κατὰ πρόσωπον ... ξηρῶν καὶ στερεῶν.
τρέφεται οὖν τὰ στερεὰ ἐκ τῶν στερεῶν. τὰ δὲ ὑγρὰ ἐκ τῶν ὑγρῶν. αὔξεται δὲ τὰ πνεύ-
ματα ἐκ τῶν πνευμάτων καὶ ἀναρρώννυται. χρῶνται οὖν ... εὐωδῶν καὶ δυσωδῶν πνευ-
μάτων. ἀλλὰ πρὸς τὴν ὑποκειμένην διάφορον διάθεσιν. ψυχροῦ γὰρ τυχὸν πάθους
ὑποκειμένου τούτῳ βούλονται τὰ προσφέρων ὀσφραίνεσθαι καὶ λιβανωτὸν ... καὶ κλά-
δους ἐλαίας, καὶ κλάδους δρυΐνους, καὶ ἁπλῶς πάντα τὰ θερμά. εἰ δὲ καῦσος ἐστὶ καὶ
ζέσις πολλὴ καὶ διακαὴς ὁ πυρετός, τότε ... οἶνας. τότε ῥόδα προσφέρω. τότε ...
γῆν ... ὑγραίνω. πολλάκις δὲ καὶ ἀμπέλων ἔλαιαι ὑποστρωννύω. ὅτι γὰρ τοῦ-
το ἀληθές, κέχρηνται πολλάκις τῇ εὐωδίᾳ διὰ τὸ ἀναρρῶσαι τὰς δυνάμεις. δ-
τι πολλάκις ἐπὶ τῶν λειποθυμούντων τὰ εὐώδη προσφέρω. καὶ ἀναρρωννῦνται
δυνάμεις. ἀλλὰ καὶ ἐν ταῦτα ἢ θερμὰ εὐώδη, ἢ ψυχρὰ εὐώδη. πρὸς τὴν διαφο-
ρὰν ... τὴν ποιοῦσαν τὴν λειποθυμίαν. τί δὲ λέγει ὅτι ἐμπιπλᾶσι, ἀντὶ τοῦ
πλήρωσιν ἐργαζόμεναι. πολλάκις γὰρ γίνεται διαφόρησις. οὐ μόνον πνευμάτων ἀλλὰ
καὶ ὑγρῶν. καὶ προσφέρω οἶνον. καὶ οὗτος ὁ οἶνος καθ' ὅσον ἐστὶν ὑγρὸς, ποιεῖται
ἀναπλήρωσιν τῶν ὑγρῶν. καθὸ δὲ εὐώδης, ἀναρρωννύουσι τὰ πνεύματα. δεῖ δὲ ἡμᾶς
εἰδέναι καὶ ἄλλο τὸ βαθύτερον. ὅτι οὐ μόνον τῶν εὐωδῶν χρείαν ἔχομεν ἐν τοῖς ἔργοις τῆς
τέχνης, ἀλλὰ καὶ τῶν δυσωδῶν. οὕτω γοῦν ἀγχορίου ἀναδραμούσης καὶ μὴ κινουμένου τοῦ
ἐμβρύου. ἀλλ' ... τότε τρίχας καιομένας ἢ ῥάκος. ἢ ἕτερόν τι τοιοῦτον
δυσῶδες καὶ παρέχομεν τῇ γυναικὶ ὀσφραίνεσθαι. ἵνα τῷ δυσώδει ἀνιωμένη ἡ φύ-

στι· τοῦτ' ἀλλ' ἢ ποῦ τις ἀλλ' ἐπικρίνῃ τὸ ἐπιχείρημα· ὅτι δὲ ἀληθές ἐστιν ὅτι αἱ ὀσμαὶ μάλι-
στα αἱ κνισώδεις ἀναρρωννύουσι τὰς δυνάμεις, λέγουσι ἔτι θαυμαστὸν περὶ Δημοκρίτου· ἡ-
νίκα ὁ Δημόκριτος ὁ τὸν βίον γελῶν, ἐβουλήθη ἐξαγαγεῖν ἑαυτὸν ἐκ τοῦ βίου, πανηγύ-
ρις ἔμελλεν ἐπιτελεῖσθαι ἐν Ἀβδήροις ἔνθα ἦν ὁ Δημόκριτος· ἐδέοντο Ἀβδηρῖται ἢ τοια
αὐτὸν μὴ ἐξαγαγεῖν τέως, ἵνα μὴ ἐν τῇ ἑορτῇ πένθος σχοίη ἡ πόλις· καὶ λέγεται αὐτοῖς ὁ Δη-
μόκριτος· πόσας ἡμέρας βούλεσθε μεμενηκέναι· οἱ δὲ εἶπον, δι' ὅλης τῆς ἑορτῆς· ἐκέ-
λευσεν ὁ Δημόκριτος ἐκχέειν ἄγγος μέλιτος καὶ εἰς αὐτὸ ὀσμώμενος, διέμεινε τὰς γ'
ἡμέρας· ὡς δὲ ἕτεροί φασιν, ἐκέλευσε κλίβανον ἐκκαῦσαι, καὶ ἐν αὐτῷ ἄρτους ὀ-
πτᾶσθαι· καὶ οὕτως ἐκ τῆς ὀσμῆς τῶν ἄρτων διέμεινε· λοιπὸν ἐβούλετο πιστώσασθαι,
πίστωσον· ἔστι δὲ τοῦτο οὐκ ἄπιστον· ὅτι δυνατόν ἐστι δι' αἰτήσεων καθαρὰς ψυχὰς πρὸς
τὸν θεὸν μεῖναι πλείονα χρόνον τὴν ψυχὴν ἐν τῷ σώματι· ἢ ὑπὸ μανίας τοῦτο ἐποίησεν
ὁ Δημόκριτος· ἀλλὰ ταύτην τὴν αἰτίαν ὡς ἰατροὶ οὐ δεχόμενοι ἀμελήσωμεν· καὶ γὰρ λῶ
ὡς ἰατροὶ ἰατρῶν ἀμελοῦμεν τῷ Θεσσαλῷ εἰς ς' μῆνας ἐπαγγελομένῳ παραδιδόναι τὴν
ἰατρικήν· ὁ γὰρ Θεσσαλός, οὕτως αὐτὴν ἔλεγε τὴν ἰατρικὴν παραδιδόναι εἰς ἕξ
μῆνας· ἀλλ' ἀπελθὼν οὗτος εἰς Αἴγυπτον, ὠφελήθη τὸ ἐξ ὑπερτέρας δυνάμεως
θεραπεύειν· καὶ ταύτην ἔλεγε διὰ μηνῶν ἓξ παραδιδόναι. ὅταν γεννήσῃ ἡ
γυνὴ καὶ ἀπομείνῃ τὸ ἐπίπλουν κεκρατημένον μετὰ τὴν κυοφορίαν, δεῖ περιττοῦ
δεῖξιν διὰ τῆς θεραπείας τῆς ἐκβαλλούσης αὐτό· παραμονῆς τοίνυν ποιείτω με-
τὰ στρουθίων περισφίγγων τὸ στόμα τῆς μήτρας· λαβὼν δὲ τέφραν βρέξον στρουθίου
ἐν ὕδατι καὶ διϋλίσας, ἐπίρραινε εἰς αὐτὸ ὀλίγην ἀλθαίαν καὶ πινέτω ἡ γυνὴ ἐμείτω
τὸ ὕδωρ καὶ ἐμείτω· ἐὰν δὲ ἡ γυνὴ γαστρὸς ᾖ, ἐξ αὐτοῦ λαβὼν καρύου ποντι-
κοῦ τὸ μέγεθος κρεμασθῇ ἐπ' αὐτῆς· ἢ εἰς ἄλογον ὕστερον τῆς γεννήσεως κρεμασθῇ,
ἀπορρίπτεται τὸ ἐπίπλουν· ἐκβάλλεται δὲ καὶ τὸ κρατηθὲν ἐπίπλουν, τὸ ἄλευρον τῆς
αἴρας τοῦ σίτου φρυγόμενον μετὰ ὕδατος κράμβης καὶ ὑποτιθέμενον ὡς βάλανος·
ἢ ἑψηθέντα πρίν· ὅ ἐστι καὶ σύμφυτον ἐστὶν ὀρθίῃ καὶ τὸ ψιμμύθιον αὐτῆς ἀναγέτω τὴν ὑ-
στέραν· καὶ σὺν αὐτῇ τῇ βοτάνῃ καπνιζέσθω μετὰ ὀφθαλμοῦ ἰχθύος ταριχευτοῦ
τουτέστιν ἁλαλισμένου ἢ μετὰ ὄνυχος ὄνου· ἢ ἵππου· ἢ μετὰ κονίας τοῦ χαρμελ
ἢ γυναικῶν ἢ μετὰ νάπεως· ταῦτα γὰρ κατάγουσι τὸ αἷμα καὶ τὸ ἐπίπλουν.
ὅταν δὲ κρατῆται τὸ αἷμα τῆς γυναικὸς μετὰ τὴν γέννησιν· πινέτω τὰ προλεχθέντα

ὅταν κρατῆται τὸ αἷμα τῆς γυναικὸς μετὰ τὴν γέννησιν

ἃ δὴ παρ' ἡμῶν ὅτι ἄγουσι τὰ ἔμμηνα· ἢ πινέτω κασσίας < ς' μετὰ ὕδατος τῆς χλο-
ερᾶς καλαμίνθης· ἢ πινέτω ὄρχιν κάστορος χαρουβάκε μετὰ καλαμίνθης· ἐπάγουσι κατά-
γουσι τὰ ἔμμηνα· καὶ πνιγμὰ ὑποτιθέμενα κάτωθεν: λαβὼν σμύρναν· χαλβάνην·
σκορδόλαζαρον· σφαλίου θεῖον ἄπυρον ἴσον σταθμόν· κόψας σήθας, ζύμωσον με-
τὰ κεδρίας καὶ ποίει κολλύρια καὶ βάλε εἰς τὴν μήτραν· ἢ λαβὼν σμύρναν < ς' θερμί-
θου πηγάνου χαλβάνης ἀνὰ < β'· κόψας σήθας, φύρασον μετὰ ζουλαπίου· ἡ πόσις
ἐξ αὐτοῦ < α' ἢ < β'· κεφ. πδ'. περὶ ἰσχιάδος· αἰτία δὲ ἀπλεξίαι καὶ τὰ ἀπὸ ἰσχίου ψυχρ-

Αἷμα λέγει τὸ φλέγμα λιπαρώτερον· ἐπὶ τούτῳ γὰρ ὡς ἐπὶ τὸ πλεῖστον γίνεται τὰ ἰσχιαδικὰ πάθη· μύξαις πληρούμεναι αἱ κοτύλαι· τουτέστι ψυχροτέρου χυμοῦ καὶ γλισχροτέρου· ἐὰν δὲ ἐπὶ θερμῇ δυσκρασίᾳ γίνεται τὰ ἰσχιαδικὰ πάθη· τῆς θερμασίας ἀναλυούσης τὸ φλέγμα· καὶ τὸ μὲν ξηροῦντος τοῦ χυμοῦ· καὶ τὴν [illegible] καὶ οὕτω διατηρούσης τὸ μόριον· ἰστέον ὅτι τὸ ἰσχίον ὄνομά ἐστιν ἀπὸ τοῦ ὀστοῦ τοῦ ἐν τῇ κοτύλῃ κάτω, ἀρχόμενα κατὰ τὰ ἰσχία γραμμῶν· καὶ μέχρι τοῦ ἀστραγάλου ἀφικνοῦνται· καὶ διὰ τοῦτο προστάσσουσιν οἱ ἰατροὶ κοπτῆσαι ἄκραν τῆς ἀποφύσεως τῆς φλεβός· παρέρχεται δὲ ὀδύνη τῆς φλεβὸς ἀπαίτου τοῦ ἰσχίου· λέγει δὲ ὁ ποιητὴς ταύτης τῆς βίβλου· ὅτι τὸ πάθος τὸ μᾶλλον μὲν ἰσχίον, γίνεται ὑπὸ κατασταλάξεως χυμῶν ἐν τῷ ἄρθρῳ τῷ παχεῖ καὶ διαφράγματι [illegible]· καὶ ὀνομάζομεν ἰσχίον· καὶ ὑπάρχει ἐκ τῶν ἀδένων τῶν [illegible]· ἡ δὲ μᾶλλον γεννητικὴ αὐτοῦ ἐστὶν ἀπὸ χυμοῦ φλεγματώδους γλίσχρου βρίθοντος ἐν τῇ κοτύλῃ· ποτὲ δὲ γίνεται ἐξ ἐφελκύσεως αἱματώδους χυμοῦ· μεμιγμένου μετὰ χολῆς ξανθῆς, βριθόντων καὶ σφηνωμένων ἐν τῷ στομίῳ τῆς κοτύλης πάλιν· καὶ ἐκ τούτου συμβαίνει ὀδύνη ἐν τῇ κοτύλῃ· καὶ πολλάκις ἐπιτείνεται ἐν τῷ κοίλῳ τῷ λοιπῷ τοῦ σκέλους· καὶ κατέρχεται ἐν τῷ ἀστραγάλῳ ἄχρι τοῦ μικροῦ δακτύλου· εἰ δὲ τοῦτο τὸ πάθος συμβῇ ἐν τῷ ἀριστερῷ μέρει· ἐστὶ τὸ τοιοῦτον σφοδρότερον τὸ ἄλγος· ὑπὲρ τοῦ ἐν τῷ δεξιῷ μέρει γινομένου· εἰ δ᾽ οὖν ὑπάρχει ἡ γεννητικὴ ἀπὸ χυμοῦ φλεγματώδους, παρέπεται τὸ τοιοῦτον [illegible] καὶ βάρος τῆς κοτύλης· ἐκτὸς νύξεως· καὶ τοῦτο συμβαίνει ὡς ἐπὶ τὸ πλεῖστον, τοῖς καθεστηκόσι· τοῖς ἐν μέσῃ ἡλικίᾳ φημί· εἰ δὲ ἡ γεννητικὴ τῆς νόσου ὑπάρχει ἐξ αἵματος σὺν μετὰ χολῆς ξανθῆς, ἀκολουθεῖ τῷ πάσχοντι ὁ πόνος ὀξύτερος· καὶ νύξεις συχναί· καὶ ὑπεκκαύσεις ἤτοι φλογώσεις· τὸ δὲ πλεῖστον συμβαίνει τοῦτο τοῖς νέοις· ὅπως δ᾽ οὖν τεκμαιρόμεθα ὅτι ἡ νόσος ἀπὸ χυμοῦ ἐστὶ θερμοῦ· δεῖ τέμνειν τοῦ ποδὸς φλέβα τὴν κειμένην ἐν τοῖς τοῦ ἀστραγάλου· ἔστι δὲ φλὲψ μεγάλη καὶ ἔμπλεως αἵματος· τέμνεται δὲ ἐν τῷ πάσχοντι μέρει· ἢ τῷ δεξιῷ· ἢ τῷ ἀριστερῷ ποδί· εἰ δέ γε ὁ πόνος ἐν τοῖς δυσὶ μέρεσι, φλεβοτομεῖται ἑκατέρωθεν· ὁ δὲ Γαληνός φησιν ὅτι ἡ φλεβοτομία ἐν τῇ νόσῳ ταύτῃ τῇ ἰσχιάδι· ὥστε πολλάκις τὴν ὑγείαν φέρειν αὐθήμερον· ποτὲ δὲ ἐν τούτῳ τῷ πάθει, φλεβοτομοῦμεν τὴν κάτω ἀπὸ τοῦ μέρους τῆς νόσου, μάλιστα ἐν τῇ ἀρχῇ· εἴπερ οὖν ἀδύναμοι καὶ ἡ ἡλικία καὶ ἡ δύναμις· εἶτα ποιοῦμεν τὰ εἰωθότα καθαίρειν τὰ τῆς ξανθῆς χολῆς· κλύζομέν τε διὰ μαλακῶν κλυστήρων· καὶ τρέφομεν διὰ τῶν λεπτῶν τροφῶν τῶν ἠρεμούντων τὴν θέρμην καὶ τὴν ὀξύτητα· προστάττομέν τε λούεσθαι διηνεκῶς, εἰς γλυκέα ὕδατα· πίνειν τε τοὺς κόκκους τῆς μαστίχης· ἢ τῆς ἀλόης· καὶ ἀλείφεσθαι συχνῶς μετὰ τῶν ψυχόντων ἀλοιφῶν καὶ κηρωτῶν· ὡς τὸ ῥόδελαιον· τὸ τῆς νυμφαίας τὸ ἔλαιον· εἰ δὲ ἔστιν ἡ γεννητικὴ τοῦ τοιούτου πάθους ἀπὸ φλέγματος γλίσχρου καὶ ψυχρῶν περιττωμάτων· δεῖ πίνειν τὰ εἰωθότα λεπτύνειν τὰ τοῦ χυμοῦ· τουτέστι τὸ φλέγμα τὸ ψυχρὸν καὶ γλίσχρον· κατὰ τὴν ῥῆσιν τοῦ Ἱπποκράτους ἀρχὴ τοῦ πρώτου τμήματος· τὸ φάσκον· ἐν τῇσι ταραχῇσι τῆς κοιλίας ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται,

ξυμφέρει τὸ εἶναι καὶ ἀφόρως φέρουσιν, ἐὰν δὲ μή, τοὐναντίον. οὕτω δ' οὖν οἱ ἰατροὶ ἀποφαίνονται ση-
μεῖα ὅτι ἡ ὀδύνη τοῦ ἰσχίου ἀπὸ περιττωμάτων θερμοῦ ἐγένετο· ἡ περὶ κένωσις δὲ διὰ ὑδραγωγῶν τῶν
τῶν ξανθῶν χολῶν, ἀφόρως φέρει ὁ κάμνων· ἤγουν κουφίζεται καὶ διαφορεῖται ὁ ἄρρω-
στος, εἰ δὲ κενώσεις φλέγμα, τοὐναντίον τῆς ὠφελείας ποιεῖς. οὗτος ἔστω καὶ κανὼν τῆς θεραπείας
κατὰ πάντα, οὐ μόνον διὰ κενώσεως, ἀλλὰ καὶ διὰ ἀλοιφῶν καὶ τροφῶν καὶ ποτῶν· παρὰ τῶν
τῶν ἐναντίων ἰατρῶν. κενώσεις δὲ τὸ ψυχρὸν φλέγμα, μετὰ μάλιστα τινὸς καὶ ἄλλο τι
τος εἰς τὴν ἰσχιάδα· ἤγουν διὰ κόκκων τοῦ ἑρμοδακτύλου ἢ τοῦ καψίκου ἢ τῶν στο-
μαχικῶν κόκκων ἢ τῶν ὀξοῖ τῶν ἢ τοῦ δὲ βεῖ· ἢ διὰ τῆς θεοδώρητου καὶ τῶν ὁμοίων.
τὴν δὲ σύνθεσιν τούτων ἀκριβῶς εὑρήσεις ἐν ἄλλῳ περὶ καθάρσεως· καὶ ὁ πάθων δὲ τὴν ἀπληπλη-
ξίαν καὶ κεφαλαλγίαν γενέσθω δὲ καὶ κλυστὴρ διὰ ... διὰ κενταυρίου λινοσπέρ-
ματος· κολοκυνθίδος ἐντερεῶνης καὶ τῶν ὁμοίων. τρεφέσθω δὲ διὰ χυλῶν τροφῶν
ἃ δὴ καὶ χυμοὺς δοκεῖ γεγράμμεναι. καὶ διότι προγίνωσιν καὶ ἀρίστην ἐν τῷ προγεγρα-
μμένῳ βιβλίῳ ὁδαλχύμα καὶ ὁδαλκανοχύμα. ἀπεχέσθω δὲ τῶν πολλῶν βρωμάτων
καὶ πομάτων. τῶν δὲ δυσπέπτων τροφῶν καὶ παχέων καὶ τῶν ὁμοίων ποτῶν· ἤγουν τοῦ πα-
χυτάτου οἴνου καὶ ἀπεχέσθω δὲ καὶ τῶν ἀφροδισίων· εἰ ποτε δὲ πλησιάσῃ, ἔξω
βρώσεως καὶ πόσεως μεμεσωμένος. ὅπως ἵνα δὲ τὴν κένωσιν ποιήσωμεν, καθαί-
ρομεν διὰ κλυστῆρος καὶ λουτροῦ· ἐπὶ τούτοις στρεφόμενος εἰς τὸ χρίειν καὶ ἀλείφειν
ἐπιφανῆναι. ὁ δὲ κενώσεως τούτου, ἐξ ἐπιτίτλου γεγραμμένου αὐτοῦ ἐν ἄλλῳ περὶ
ναρκώσεως· ὅτι πᾶσα ἀλοιφὴ ἢ κολλητηρία ἢ ἔμπλαστρος, ποιοῦμεν καὶ χρίομεν
ἐπὶ ξένοις μέλεσι, χάριν θερμάνσεως καὶ θάλψεως ἢ διαλύσεως ὕλης παχείας, διὰ τοῦτο
πρᾶττειν ἐν ἀρχῇ· προηγείσθω δὲ τὴν κένωσιν ὅλου τοῦ σώματος καὶ κενοῦν διὰ φλε-
βοτομίας. ὅταν δὲ γνῶμεν ὅτι ἐστὶ καθαρὸν ὅλον τὸ σῶμα καὶ φανερὸν ἡμῖν ὅτι ἡ νό-
σος εἰς τὸ μέλος ἐκεῖνο ἐστὶ μόνον ἐξ ὕλης κατερχομένης ἐν αὐτῷ· καὶ οὐκ ἐπέρχεται
ἑτέρα ὕλη εἰς αὐτὸ ἐξ ἄλλου τόπου, τότε χρώμεθα τοῖς καλλιτίμοις ἐμπλάστροις
καὶ ἀλοιφαῖς· ἐμπεπλησμένου δὲ τοῦ σώματος, δεῖ παντελῶς ἐπιφανῆναι τὴν
ἐπιχείρησιν τοῦ ποιεῖν τι διὰ τῆς ἐπιφανείας· ἕλκουσι γὰρ εἰς τὸ ὀδυνώμενον μέ-
λος ἐκ τοῦ σώματος καὶ οὐ διαλύουσι τὰ ὄντα αὐτοῦ. φησὶ δὲ καὶ ὁ Γαληνὸς ὅτι
ὅταν ἀκμάσῃ ἡ τοιαύτη νόσος, χρὴ τέμνειν αὐτῇ τὴν φλέβα. καὶ καυτηριά-
ζειν. φασὶ δὲ καὶ ὁ Διοσκουρίδης ὅτι καυτηριάζεται ἡ φλέψ, μετὰ ἀγρίας κόπρου
καθὼς φανερώσω καὶ εἴπω, καὶ τότε ἀρεμεῖ ὁ πόνος καὶ παύει. ὁ χαρακτὴρ δὲ τῆς καυ-
τηρίας, οὕτως γίνεται· λαβὼν ἔριον βάψον καλῶς αὐτὸ εἰς ἔλαιον καὶ τίθει μὲν
τὰ τοῦ ναρθου τοῦ ὄντος μέσον τῶν δακτύλων τοῦ ποδὸς· καὶ λαβὼν ἀνακόπρον τῆς
αἰγὸς ξηρόν, ἄναψον μετὰ τοῦ πυρὸς κατὰ τοῦ ἐρίου καταλίπε ἄχρις ἂν σβεννύ-
ται ἡ φλόξ· ἀνακαίνια οὖν δὲ καὶ ἑτέραν κόπρον ποιῶν ὡς τὴν πρώτην· καὶ συχνῶς ποι-
εῖ οὕτω μετὰ ἄλλα τῶν μέχρις οὗ καταυγισθῇ καὶ αἰσθανθῇ τῆς θερμότητος εἰς τὴν κνῆμην,
καὶ τότε παύσεται ὁ πόνος. ὁ δὲ Διοσκουρίδης πάλιν φησί, λαμβάνομεν τῆς κόπρου

τοῦ βοὸς καὶ γλισχρασμένας εἰς φύσιν ἔκκειται καὶ ἰσθμοὺς εἰς τὸ ἐμφράττεσθαι· καὶ λίθους θερμοὺς
χωρὶς τοῦ φύλλου κατὰ τὸ ἰσχίον· ὅτι γινώσκει φανερῶς· πίνετω δὲ ὁ ἄρρωστος βοηθήματα διαθερ-
μαίνοντα καὶ διαλυτικά· ὡς τὴν θηριακὴν τὴν ζαζερεις· τοὺς κόκκους τοῦ δελίου· τὴν ἀντίδο-
τον τὴν διὰ τριῶν πεπέρεων· καὶ τὰ ὅμοια· παύσας τὰς συνθέσεις ἀρχῆς ἐν τῷ περὶ βι-
βλίῳ γεγραμμένας κατὰ τὰ μόρια· ἀντλεῖ τῷ δὲ τὸν τόπον μετὰ ὕδατος θερμοῦ ἑψηθέν-
των ἐν αὐτῷ· καλαμίνθης· ἀνήθου· χαμαιμήλου· ὀριγάνου· μελιλώτου· μυὸς ὤτων· φύλλων
δάφνης καὶ τῶν ὁμοίων· τῶν διαλυτικῶν εἰδῶν· ἢ ἑψήσας τὸ κώνειον μετὰ τῆς ῥίζης καὶ
τὸν καρπὸν· πυρία τοῦ τόπου διὰ ῥάκους· ἢ λαβὼν ἄλευρον θερμῶν καὶ ἑψήσας μετ' ὄξους
καὶ μέλιτος κεκραμένου μετὰ ὕδατος εἰ περὶ ἐστὶν ἡ νόσος ἀπὸ θερμοῦ· εἰ δὲ ἐστὶ ψυχρὰ
καὶ παχεῖα, ἕψω μετ' ὄξους καὶ μέλιτος, καταπλάσσε τὸν τόπον· ἐπεὶ τοῦτο τὸ ἔμπλα-
στρον, ἰσχεσουλίαν· τὸ δὲ ὅμοιον αὐτοῦ τούτῳ ἐν δυνάμει, ἐστὶν ὁ φλοιὸς τῆς ῥίζης τῆς κάπ-
παρεως καθ' αὐτὸν ἢ μεθ' ἑτέρου καταπλαττόμενος· ἢ λαβὼν ῥίζαν κρίνου, κόψας
καλῶς, φύρασον σὺν ὄξει, καὶ τίθει ἐπὶ τοῦ τόπου· τοῦτο γὰρ ἀπολύει καὶ διανοί-
γει τοὺς πόρους τῶν ἀρμῶν· ὠφελοῦσι δὲ τὸ πάθος τοῦτο, καὶ αἱ θερμαὶ ἀλοιφαί· ὡς τὸ
χαμαιμηλέλαιον· τὸ ἀνηθέλαιον· τὸ δαφνέλαιον· τὸ κοστέλαιον· τὸ ἰασμέλαιον·
τὸ ζαμβάκ· τὸ κώνειον ἔλαιον· χρίειν δὲ καὶ ἀπὸ τῶν συνθέτων τούτων εἰδῶν ὧν
τινων τὴν ἔντιμον ἐνέργειαν, ἐγνώκαμεν διὰ πείρας :· οἱ κόκκοι τοῦ δερβεζὲ οἱ ζελφοὶ ὠ-
φελοῦσι εἰς τὰς νόσους τῶν ἀρμῶν τὰς φυομένας ἀπὸ περιττωμάτων παχέων· εἰς ἰσχίον καὶ ποδάγ-
ραν· καὶ εἰς ἄνεμον τὸν ἐν τοῖς ἄρθροις· εἰσὶ δὲ χρήσιμοι :— λαβὼν ἀμμωνιακοῦ σα-
γαπηνοῦ· βδελλίου γλαυκοῦ· ὀποπάνακος· ἀλόης· σαρκοκόλλης· χαλβάνης· δίκταμνον·
σπέρμα κωνείου· σελινόσπερμον· εὐπατορίου· ἀνὰ οὐγγίαν ἀνὰ < α'· κολοκυνθίδος ἐντε-
ρίωνη < β'· πιτύουσα < ς'· ἑρμοδάκτυλον < ε'· σκαμμωνίας· ἄκορον, ἀνὰ
< ς' κόψας σήσας, καὶ τὰ δάκρυα διαλύσας μετὰ ὕδατος πράσου, φύρασον με-
τὰ τῶν λοιπῶν εἰδῶν, καὶ ποίησον κόκκους, ὡς τὸ κόριον· ἡ πόσις < α' μέχρι < β' καὶ
ἄχρι < β' τοῦ ἰσχύοντος μετὰ τῆς προετοιμάσεως καὶ προφυλακῆς διαίτης τε ὕλης
τῆς πράξεως· οὗτοι δὲ οἱ κόκκοι, θαυμάσιοί εἰσι ποιούμενοι τοῦ δερβεζί· καὶ
εἰσὶν οἱ κόκκοι οἱ δὲ ἔπνοοι· εἰσὶ πάλιν καὶ οἱ κόκκοι τοῦ σαγαπηνοῦ· πάνυ ὠφέλιμοι :
οἱ κόκκοι τοῦ σαγαπηνοῦ· ὠφελοῦσι σὺν θεῷ· εἰς τὰς νόσους τῶν ἀρμῶν· καὶ εἰς τὸ ἰσχίον·
καὶ εἰς τὸν ἄνεμον τῶν ἄρθρων· εἰς τε παντοίαν νόσον συμβαίνουσαν ἀπὸ περιττωμάτων
ψυχρῶν καὶ παχέων λαμβανόμενοι διηνεκῶς σὺν καὶ πεφραγμένοι· λαβὼν σαγαπηνοῦ
μυροβάλανον, κέπουλε· πιτύουσαν, λαχανοῦ ἑρμοδάκτυλον ἀνὰ < ε'· βαλσάμου ξυλε-
γόμενον σισύμβριον, ξηροῦ καλαμίνθης· σπέρμα κωνείου ἀνὰ < α'· σκαμμωνίας·
ὄρχιν κάστορος· καψίκον· φλοῦ τὸ σιτράξ σαραουλι τὰ ἀνὰ < ς'· κόψας σήσας,
φύρασον μεθ' ὕδατος σελίνου· ἑψημένου μετὰ μαδείχης καὶ ἀνίσου δ', καὶ σχάδης·
πίνετω δὲ μετὰ προφυλακῆς ἀπὸ παντοίας βλάβης :— οἱ περὶ κόκκων· σὺν ἀ-
ψαῦσαι αὐτοὺς ἢ σαλ... ὅπου ἐμβρύων εἰς παχύτατα ὑγρότητα· καὶ πόνον ἄρθρων· εἰς τε πε-

τῶν ἀρθρῶν ἀπὸ αἰτίας ψυχρᾶς :· λαβὼν πεπλίον ὃ λέγεται σαραμίνιστσι· βδέλλιον
ἰουδαϊκὸν ∠ς· σαγαπηνοῦ· σαρκοκόλλαν· ἀμμωνιακοῦ ἀνὰ ∠β· μαστίχην· ἄνο-
ρον· κολοκυνθίδος ἐντεριώνην· σπ. ἀμμωνιακὸν, ἀνὰ γ[ρ]. α· καλαμίνθην· σπέρμα σελινου
ἀνὰ γ[ρ]. ον· σπέρμα μαράθρου· σπέρμα κωνείου· στάχυς· στυχάδα· ἀλας ἰνδικὸν ἀνὰ ∠ς.
κόψας σήθας, ζύμωσον μετὰ ὕδατος τῆς ἐρεβίνθου, μετὰ ἐπιτηρήσεως καὶ δίαιτης :·
σκευασία ὠφέλιμος· εἰς τὸν πόνον τῶν ἀρθρῶν καὶ τῆς βραχέως· τὸν γεννώμενον ἀπὸ πνεύμα-
τος καὶ φλέγματος παχέος· ἡ χρῆσις αὐτῶν, γρ. α μετὰ ὕδατος θερμοῦ· ἡ δὲ τροφὴ αὐτοῦ,
ἔστω ζωμὸς περιστερῶν μετὰ ὕδατος τῆς ἐρεβίνθου, καὶ οἴνου ἀκράτου κόσμου καὶ σοῖν αὐτοῦ.
λαβὼν ἱερὰν πικρὰν, γρ. η· ἀλας ἰνδικὸν, γρ. β· ἄνισον, γρ. β· ἑρμοδάκτυλον· γρ.
ἀγαρικὸν· ἐστὶ δὲ τὸ πουγίδεν· ἐρυθρόδανον· καρυόφυλλον ἰνδικὸν· ἀνὰ γρ. α· ἀμμεῶς,
γρ. ε· κολοκυνθίδος ἐντεριώνην γρ. δ· ἀλοπεκίαν καλαμίνθου, γρ. ι· σπέρμα σελίνου
γρ. β· κόψας σήθας, φύρασον καὶ ἕνωσον μετὰ τῆς πικρᾶς· καὶ λαβὼν βδέλλιον γρ. β·
σαγαπηνὸν γρ. α ς″ διάλυσον μετὰ ὕδατος τοῦ πηγάνου· καὶ ζύμωσον τὰ
ὅλα καὶ γένασον τὰ κοκκία ὡς πίπερ, ὡς πίπερ· ἡ πόσις αὐτῶν, ∠β πρωὶ μετ'
ὕδατος θερμοῦ :· σκευασία βαλάνων, οἳ ὠφελοῦσιν εἰς τὸ καταπαύσαι τὸν ...
ὑστερον τὰ τῶν κοτύλων καὶ τῆς βράχεως· καὶ εἰς κωλύειν ἀφοσίαν τῆς ἀποξέως·
λαβὼν σαγαπηνὸν ∠β· βδέλλιον ἰουδαϊκὸν· σαρκοκόλλαν· κολοκυνθίδος ἐντε-
ριώνην· σπ. ἀμμωνιακὸν· νίτρον· σμύρναν· χολὴν βοὸς, ἀνὰ ∠α· κόψας σήθας,
διάλυσον· τὰ κομμιώδη δὲ ἀποβρέχε μετὰ μέλιτος καὶ ζύμωσον καλῶς· καὶ ἀλεί-
ψας τὰς χεῖρας σησαμελαίῳ, ποίησον βαλάνους· καὶ ἐπίθες ἔσω εἰς τὸν δακτύ-
λιον ἕνα βάλανον· καὶ ὅταν ἐξέλθῃ, θὲς, καὶ δεύτερον καὶ τρίτον· ὁπόταν δὲ ὁρᾷς
ὅτι ἡ ὕλη κατὰ τὰ ἄρθρα τῶν παλαμῶν καὶ τῶν ...· δεῖ χρᾶσθαι ἐν ἀρχῇ τοῦ πρά-
γματος, τοῖς ἀποδιώκουσιν ἤδη σοι καὶ ἀποκρουστικοῖς· εἰ δ' ὑπάρχῃ τὸ δεχθὲν μέ-
λος τῶν ὅλων ὁ ἀρμὸς τῆς κοτύλης, μὴ ἰατρεύσαι διὰ τῶν ἀποκρουστικῶν· καὶ
γὰρ τοῦτο τὸ μέλος διὰ τὸ μέγεθος βάθους πολλοῦ, ῥᾶον ἐν τῷ δὲ τῷ ἀρμῷ· βαθύ-
νεται τοῖς τοῦ τόπου εὐχερῶς καὶ ἐπισωρεύεται· ἔνθα δὲ καὶ διὰ ἀποφάσεως λύεται.
καὶ διὰ τοῦτο χρῆσθαι ἔστιν εἰς τοὺς ἀρθριτικοὺς ἐν ἀρχῇ τοῦ πράγματος, τὰ ἄδη-
λα ἀποκρουστικά· εἰ δ' ὑπάρχῃ ἡ αἰτία τῆς ὀδύνης τῆς κοτύλης ἀπὸ πλήθους
αἵματος· θεραπεύομεν ταύτην τὴν νόσον εὐχερῶς καὶ ταχέως, διὰ φλεβοτομί-
ας γενομένης τὴν ὑποκάτω φλέβα τοῦ ἀστραγάλου· τὴν ἐκτὸς ὀνομαζομένην· ἢ τὴν
φλέβα τὴν ἀναμεταξὺ τοῦ δακτύλου ἐπὶ τοῦ πρόσω τοῦ ποδὸς εἰς τὰ ἄλλα τὰ
δάκτυλα· ἣ ἔξω καλεῖται, σαφὲ· ἢ τὴν φλέβα τὴν ὑποκάτω τοῦ διπλώματος
τοῦ γονάτου· χρώμενος δέ τις ἐν τῷ ἀρμῷ τῆς κοτύλης τοῖς ὀξέσιν εἴδεσιν καὶ
θερμοῖς ὡς τὰ σκόροδα καὶ χαμαί· καὶ σίναπι, ἀποπλύνουσιν ἐκ τὸ περίττωμα,
καὶ ποιοῦσι τὴν νόσον, πάνυ δυσθεράπευτον· διότι παχύνεται ἡ ὕλη καὶ γίνεται
ὡς ὠπτημένη· γενομένου δὲ τοῦ τοιούτου σφάλματος, ἐπιθετέον τοῦ ἀρμοῦ

τῆς κοτύλης συνήθειαν ὑπερμεγέθη χωρὶς ἐμφράξεως, καὶ ποιοῦσι πεπωρωμένων τὴν διά-
κλυστῆρος· ἀνάλημψιν εἰς αὐτὸ ἐντεριώνην καὶ τὰ ὅμοια· ὁπηνίκα δὲ γίνεται εἰς τέλος
ὑπὸ πόνου πράγματος σκληρὸν λιθῶδες, οὐκ ἔστιν ὑπογράψαι τὸ τέλος εἰς τὴν αὐ-
τοῦ διαγωγὴν τὰ ἄφθιτα· εἰς δὲ θεραπείαν ταύτης τῆς νόσου ἀπὸ τῶν ἁπλῶν εἰδῶν, εἰς
οἷ ταῦτα ἀφράζω· πίνουσι παρ' τῶν αὐτῶν ἐψῶσιν ἀλωπεκὰς ζώσας μετ' ἐλαίου· ἔνιοι δὲ ἑψῶσιν
ἑψῶσιν ἀλώπεκα τεθνεῶσαν· ἕτεροι δὲ ἑψῶσιν ἔχιδναν σὺν ἐλαίῳ, καὶ ποιοῦσιν ἀλοιφὰς
διαλυτικάς· καὶ ἐγχέοντες αὐτὸ τὸ ἔλαιον εἰς δεξαμενὴν καθίζουσι τοὺς πάσχοντας ἀρ-
μοπονίαν· μέχρις ὅτου φραχθῇ τὸ σῶμα παρ' σῶμα μετὰ τοῦ ἐλαίου· καὶ ποιοῦσι
μένειν αὐτοὺς τῷ ἐλαίῳ ὥραν πολλήν· καὶ μεγάλως ὀνίνησιν αὐτούς· διὰ τὸ κενοῦσθαι
ὕλην τὴν ποιοῦσαν τὴν νόσον· δεῖ γὰρ αὐτοὺς μετὰ τὴν θεραπείαν τῆς ἀλοιφῆς ταύ-
την ἵνα ὑπάρχῃ ἡ οἰκονομία τῆς βρώσεως αὐτῶν ἀκριβεστάτη, καὶ ἀμέτοχος κα-
κοχύμων βρωμάτων καὶ τῶν λοιπῶν :· ἀλοιφὴ ἡ τοῦ μοναχοῦ τοῦ δαμασκηνοῦ,
ἥτις ἀλειφομένη ὑποκάτω τοῦ βήματος τῶν ποδῶν, ἐκβάλλει τὸ ὠμὸν φλέγμα·
λαβὼν ἐντεριώνην κολοκυνθίδος, στα(τῆρας) γ· ἀφόρβιον, στ(ατῆρα) α· γάλα τιθυμάλλου, στ(ατῆρα) α·
θλάσθη τὸ ἐντεριώνη καλῶς ἐπιχέων εἰς αὐτὴν, λίτρας ὕδωρ· καὶ καταλιπὼν ἡμέρας,
τὴν τετάρτην ἔπειτα σὺν ἐλαίῳ λίτρας λίτρ(αν) α· καὶ ἕψει ἐπὶ μαλθακοῦ πυρὸς ἄ-
χρις ἂν καταλειφθῇ τὸ τρίτον, ἢ δύο μέρη τοῦ ὕδατος καὶ ἀπομείνῃ τὸ ἕν· καὶ διϋλί-
σας λεπτῶς, ῥῖψον τὰ σκύβαλα καὶ ἔμβαλον τὸ ἔλαιον εἰς τὴν χύτραν· καὶ θὲς ἐπάνω, καὶ
οὐ γ· καὶ ὅταν λυθῇ ὁ κηρός, ἐπίβαλε τὸ ἀφόρβιον καὶ τὸ γάλα τοῦ τιθυμάλλου· τετριμμένον,
καὶ ἑψήσας καλῶς εἰς βοῦττιν καταθὲς καὶ ἐπίθες εἰς ἀγγεῖον· γερανόμυρον ἢ εἰς βυκίον· ὁπη-
νίκα δὲ θέλεις ἰατρεῦσαι μετὰ τούτου· τὸν ὦμον χρῖε τὸν ἐνοχλοῦντα ἐν τῷ μέσῳ πλη-
σίον τῶν νεφρῶν καὶ τὰ τῆς ῥάχεως ἄρθρα μέσον κατοικοῦντα, πρὸ τῆς ὥρας ἐξαι-
ρέτως τὸν νοσοῦντα, στα(τῆρα) α σταγόνων ἐν τῷ ὕπνῳ· καὶ τῇ ἑξῆς ἡμέρᾳ τὸ πρωΐ πι-
νέτω ἄλλο στα(τῆρα) α μετὰ ὕδατος χλιαροῦ· καὶ ἄλειφον ὑποκάτω τῶν γονάτων μέσον τῶν
βημάτων μετὰ τῆς τοιαύτης ἀλοιφῆς· ἐκβάλλει γὰρ τὸν ὠμὸν χυμὸν θαυμασίως καὶ καθαί-
ρει κενοῦσα, ἐκ τοῖς τοῦ πεῖν τὸ σταγόνων :· στυ ἔλαιον τοῦ σινάπεως· ὠφελοῦν εἰς ἀρμο-
πονίαν θερμαίνει δὲ καὶ τὰ ἐν τοῖς μέλεσι καὶ τὰ ἄρθρα τὰ κατεψυγμένα· πωρώσεις καὶ τὴν νεφρ-
διαλύει δὲ καὶ τὰ ὁμοιωμένα οἰδήματα· λαβὼν ἔλαιον τοῦ κοινοῦ μέρος α· σινάπεως γο(ῦ) γ·
ἕψει ἐπὶ μαλθακοῦ πυρὸς ἄχρις ἂν παραλάβῃ τὸ ἔλαιον τὴν δύναμιν τοῦ σινάπεως·
καὶ διϋλίσας, χρῶ· καθολικῶς γὰρ αἱ ἀλοιφαὶ διαλύουσι καὶ σκορπίζουσι τοὺς ἀτμοὺς
τὰ ἐπινοσήματα τὰ σὺν καὶ μένοντα ἐν τοῖς μέλεσι καὶ τῇ χυμῇ πέττουσι· καὶ θερμαίνου-
σι τὰ ψυχρὰ μέλη· κατὰ σύγκρισιν δὲ ἰσχυροτέρα ἀλοιφὴ ὑπάρχει ἐν τοῖς τοιούτοις,
ἡ τοῦ διακωνείου καὶ τοῦ τριφύλλου· τοῦ πηγάνου, καὶ τοῦ ἀνήθου· τῆς ναρκίσσου καὶ
τῆς βαλσαμελαίου· τοῦ ῥίζης· καὶ τῶν ὁμοίων διαλυτικῶν ἐλαίων· εἰ δέ τις βούλεται
προσθεῖναι ἐπ' αὐτοῖς δύναμιν διαλυτικὴν τῶν χυμῶν τοῦ ἀποδιῶξαι τὰ πνεύματα
ἀπὸ τῶν ἁρμῶν, τιθέτω πύρεθρον· ἢ καστόριον· ἢ ἀνακάρδιον· τὸ σαρκοφάγον ἔστι θι-

λέσβρ · εὐφορβίου · ἀκώνιτον · κασσίας · κόστου · καλάμου · καὶ τὰ τούτοις ὅμοια· ἀπὸ δὲ δακρύων καὶ τῶν σπερμάτων τῶν θερμῶν καὶ τῶν διαλυτικῶν, ἑψημένα ἁπλᾶ ἢ σύνθετα, σὺν ξέστου α' ἐλαίου· πρόσεχε δὲ παντελῶς τὴν χρῆσιν τῶν τοιούτων ἐλαίων, πρὶν καθάρσεως· ἵνα μὴ αἱ ὗλαι ἐφελκυσθῶσιν ἀπὸ παντὸς τοῦ σώματος ἐν τοῖς μέλεσι καὶ γένηται ἀναβιβασμὸς τῆς νόσου, καὶ ἴασις αὐτῆς· καὶ ἐὰν ἐστὶν ἡ ναρκωσία ἀπὸ ψύξεως, ἀπολαμβάνῃ τὸ μέλος ἐξ ὅλου τοῦ σώματος καὶ ἀδυνατοῦν πρὸς τὰς θέσεις βλαβῶν· ὅτε δὲ ἐκεῖνο τὸ μέλος καθίστησιν ὥσπερ πεπαυμένα χωρὶς ὕλης, ὑπάρχει ἡ χρῆσις τῶν τοιούτων ἐλαίων, ἐν πάσῃ ὥρᾳ καὶ διαγωγῇ καὶ τρόπῳ, ὠφελιμωτάτη ἐστὶν ἀεί. ∴ ἔμπλαστρος διέθετο τῷ αὐτῷ Ἰσαάκ, αὐτοῦ ἔχοντι ἐπιγονὰς ἐν τῷ κονδύλῳ καὶ διεστραμμένα· ἐπιδέδωκε μοι καὶ· λαβὼν κηροῦ < ι' · τερεβινθίνης οὐγ. α' · ὄξους δριμέος · ἐλαίου ἀνὰ λί. ς' · ἀμμωνιακοῦ · ἑρμοδάκτυλον οὐγ. α' · ταῦτα ὁμοῦ λειώσας ἐπὶ πυρός, ἀνάμιξον σὺν αὐτοῖς < εἰκοσι πικρ. · βδελλίου < β' · καὶ χρῆσαι τῷ ὀνοσῷ τῷ τοιούτῳ, νύκτα καὶ ἡμέρα, ἀποπλύνων μεθ' ὕδατος θερμοῦ ∴ ἔμπλαστρος ἄλλη ἐπὶ τοῖς οἰδήμασι τῶν ἁρμῶν· λαβὼν ἄλευρον κυάμου, ἕψησον μεθ' ὕδατος καὶ μίξον μετὰ στέατος χοιρείου, καὶ χρῶ· — ἄλλο · λαβὼν τὰς ῥίζας τοῦ ῥίζου · ποιήσας ὡς ἰατρῖψας ἀνάμιξον μετὰ ὄξους, καὶ χρῶ· παρέχει γὰρ ὠφέλειαν τοῖς σκληροῖς οἰδήμασι τοῖς ἐν τοῖς ἁρμοῖς · ἑτέρα · λαβὼν παλαιὸν τυρὸν δριμύν, κόψας, φύρασον μετὰ ἀφεψήματος κρέατος χοιρείου ταριχευτοῦ παλαιοῦ · καὶ μαλάξας ἐν ὅλμῳ, ἀνάμιξον ἅμα καὶ ἐπίθες κατὰ τοῦ ἁρμοῦ · διαλύει γὰρ τὸ σκληρωθέν, τὸ ὑπάρχον ἐν τοῖς ἁρμοῖς τοῦ ποδός ∴ πρὸς ἄλγος γονάτων ∴ — λαβὼν ἔλαιον καρύου, ἄλειφε · διαλυτικὸν γάρ ἐστι καὶ θαυμαστόν ∴ κε' περὶ ποδάγρας.

κη' Τὸ καλούμενον πάθος ποδάγρα καὶ ποδαλγία, ἐστὶ πόνος ἰδίως γινόμενος ἐν τοῖς βήμασι σφοδροὶ καὶ βλαβεροί · καὶ παρέπεται αὐτῷ ἰσχυροὶ πόνοι ἐν τῷ ἀγρυπνεῖν νύξεις · γεννᾶται γὰρ ἀπὸ ἐφελκύσεως χυμοῦ κακίστου ἐν τοῖς ποσί · καὶ ὅταν ἐστὶν ὁ τοιοῦτος χυμὸς θερμός, ποιεῖ ὀδύνην ἰσχυράν, σύντονα τὰ τῶν ἐνύξειν, καὶ ἐπεκτείνουσιν καὶ φλογῶσιν ἐν τοῖς βήμασιν · ὅτε δὲ ἐστὶν ὁ χυμὸς οὗτος ψυχρὸς καὶ παχύς, γεννᾶται ὡς ἐκ τούτου βάρος σφοδρόν, καὶ τυγμοὶ καὶ ὄγκος ἄνευ πόνου καὶ νύξεως · διότι τὰ οἰδήματα τῶν ποδαλγιῶν καὶ τῶν ἀρθριτικῶν, οὐ κατασπῶνται · φημὶ οὐκ ἀνοίγονται · καὶ σήπονται καὶ ἔχουσιν ἕλκος · καὶ γὰρ πάνυ σπανίως συμβαίνει δὲ τὰ ἔξω μέλη ταπολύσαι μα · σηπομένα διὰ τῆς κοπριᾶς καὶ ὑγρότητος · διάγουσι τὰς θέρμας, γίνεται ἀναβρασμὸς καὶ σηψις καὶ κατὰ βραχὺ σοῦ ἔπεται ἀνακομιδαῖς · οἱ δὲ ἁρμοὶ οὗτοι, τρέφονται ἐξ ὑγρότητος σιάχρου καὶ ψυχραὶ · ὅτι δὲ καὶ γεγυμνωμένοι σαρκός · καὶ οὐ ποιοῦσιν ἕλκος · συμβαίνει δὲ ἐπὶ τὸ πλεῖστον τὸ τοιοῦτον πάθος, τοῖς ἰσχνάζουσιν ἀνάπαυσις καὶ ἠρεμία, καὶ αἰνεῖ πολυφαγία τε καὶ πολυποσία · ἐκ τῶν τοιούτων γὰρ γεννῶνται πολλὰ περιττώματα ἐν τῷ σώματι · καὶ ἐὰν τὰ βήματα ὦσιν ἀνίσχυρα, καταπίπτουσιν αὐτοῖς τὰ περιττώματα · διὸ δὴ τὸ ἀσθενὲς μέλος, οὐκ ἰσχύει ἀπῶσαι ἀπ' αὐτοῦ τὸ περίττωμα, διὰ τὴν ἀδυναμίαν αὐτοῦ · καὶ δεῖ ὅπως νοεῖν ὅτι συμβαίνει ἡ ποδάγρα πλείονως ἢ εἰς τὰ βασίλεια.

καὶ ἐς τοὺς ἐν ἀναπαύσει· καὶ τοὺς πλούσιον ὑπάρχοντας· μάλιστα δὲ τοὺς ἑαυτοῖς κατὰ πολὺ χρωμένους τὰ ἀφροδίσια· οἱ ἀγροτέρων δὲ τοὺς μετὰ πλησμονὴν καὶ κόρον συνουσιάζοντας· καὶ γὰρ τὰ μέλη ἐν τῇ ὥρᾳ τῆς κινήσεως τῆς συνουσίας θερμαίνονται· καὶ διὰ τῆς θερμότητος ἕλκουσιν ἐφ᾽ ἑαυτοῖς τὰ περιττώματα· πάλιν τὸ πλῆθος τῆς συνουσίας βλάπτει τὰ νεῦρα καὶ ἀλλοιοῖ· τὰ δὲ βήματα γίνεται μελαγχρώδη· καίτοι ὡς ἐκ τούτου γίνονται οἱ εὐνοῦχοι ἀποδάλγοι καὶ ἀνάλγοι· διὰ τὸ μὴ συνουσιάζειν· εἰ δὲ συμβαίνει τινὶ ἐξ αὐτῶν ἡ τοιαύτη νόσος· ἐστὶν ἀπὸ πλήθους περιττωμάτων ἐπισωρευομένων εἰς τὸ σῶμα αὐτῶν· καὶ συναθροιζομένων ἀπὸ τῆς τούτων ἀδηφαγίας· ἀκολουθοῦσι γὰρ ταῖς ἐπιθυμίαις αὐτῶν ἐν τοῖς βρώμασιν ἀκρατῶς ὡς ποιοῦσιν οἱ παῖδες· οὐ γὰρ συμβαίνει τοῖς παιδίοις ποδάγρα οὐδόλως διὰ τὸ μὴ συνουσιάζειν· ἀλλ᾽ ἀπὸ τῆς τούτων ἀταξίας· ὡσαύτως δὲ οὐδὲ συμβαίνει ταῖς γυναιξὶ ποδάγρα· διότι οὐ κοπιοῦνται ἐν τῇ ὥρᾳ τῆς συνουσίας ὡς οἱ ἄνδρες, καὶ πάλιν ὅτι ἐξέρχεται ἐξ αὐτῶν διὰ τῶν καταμηνίων πλεῖστα περιττώματα· ὁ σοφὸς Γαληνὸς λέγει· ὅτι ἐὰν ἄρξηται ἡ ποδαλγία ἀπὸ τοῦ ἔαρος ἤτοι ἀπριλλίου καὶ ἀπὸ τοῦ θέρους, ὑγιαίνει ἐς τὰς τεσσαράκοντα ἡμέρας ἢ ἐλάττω· εἰ δὲ ἐν τῷ φθινοπώρῳ τὴν ἀρχὴν ἔχει καὶ μέχρι τῆς ἐκβάσεως τοῦ χειμῶνος ἐπέχει· τότε ὑπάρχει ἡ ταύτης θεραπεία δυσκατόρθωτος· θεραπεύονται δὲ οὖν τὴν ποδαλγίαν· ὁ δὲ κενοῦν τὸ σῶμα τοῦ κάμνοντος διὰ τῆς φλεβοτομίας· εἰ περιπλεονάζει ἐν τῷ σώματι τὸ αἷμα· ἀφαιροῦντες ἀπὸ τοῦ ἐπὶ πλάτος τοῦ ποδὸς ἵνα ἐξέλθῃ μετὰ ταῦτα ἡ ὕλη ἡ τρέχουσα καὶ ἐξέλθοι εἰς τὸ μέλος· εἰ περιυπάρχει ἐξ αἵματος ὀξέως ὀδύνη, ἢ ἀπὸ πλησμονῆς· εἰ δ᾽ ἐστὶ τὸ περίττωμα φλεγματῶδες· κενοῦσι δὲ διὰ ὀδῶν καθαιρόντων τὴν τοιαύτην χολήν· ὡς τοῦ κόκκου τοῦ κνιδίου· καὶ τοῦ ἀλόης· ἢ τοῦ ἑρμοδακτύλου· ἢ διὰ τῶν μαχικῶν κοκκίων ἢ τοῦ σαγαπηνοῦ· καὶ τῶν ὁμοίων· γνωστέον δὲ ὅτι ἡ ὕλη τοῦ περιττώματος ἠλαττώθη, τότε ἐν ὑστέροις ἰατρεύσομεν τοὺς πόδας· διὰ τῶν ἐμπλάστρων καὶ ἀλοιφῶν τῶν ἀποκρουστικῶν τῶν ἀποδιωκόντων τὴν ὕλην ἀπὸ τῶν βημάτων· τῶν ἐπερχομένων ἐν αὐτοῖς· καὶ εἰ μὲν ἐστὶν ἡ ὕλη ἀπὸ θερμότητος, θεραπεύσομεν διὰ τοῦ ψυλλίου μετὰ ῥοδελαίου καὶ ὕδατος ψυχροῦ· καὶ τῆς ἀνδράχνης· καὶ τριβόλου καὶ ὄξους· καὶ τοῦ φακοῦ τοῦ ἐπὶ τῶν τελμάτων· καὶ τοῦ ἀποζέματος τῆς κολοκύνθης τοῦ τε χλωροῦ κορίου, φύλλων τε θρίδακος, καὶ ῥοδελαίου σὺν τῷ λευκῷ τοῦ ὠοῦ· σαντα· φύλλων ῥόδων καὶ φουσκαὶ πεφρυγμένης μετὰ ἐλαίου ψυλλίου ἢ τῶν ἰντύβων· καὶ τῶν ὁμοίων· εἰ δ᾽ ἔστιν ἡ ὀδύνη ἐξ ὕλης ψυχρᾶς, θεραπεύσομεν μεθ᾽ ὕδατος τῆς κράμβης· φύλλων καὶ πρασίου ὀριγάνου· καὶ διὰ τῶν λεχθησομένων ἐμπλάστρων· πινέτω δὲ ὁ πάσχων τὰς θερμοτάτας ἀντιδότους· ὡς τὴν θηριακὴν· τὴν ζιγγιβερίτην· τὴν διὰ καλαμίνθου· τὴν διὰ ῥωμάτων· τὴν φίλωνος· τὴν διερμοδακτύλου· καὶ τὰς ὁμοίας· τρεφέσθω δὲ διὰ πεπτῶν τροφῶν· καὶ ἀλκίμων γυμναζέσθω τὸ σῶμα αὐτοῦ συμμέτρως· καὶ χριέσθω ἐκ τούτων τῶν συνθέτων ἐλαίων· καθὼς θεωρεῖ ὁ ἰατρὸς ὅτι ἁρμόζει ἐν παντὶ καιρῷ· ὁ εἰπὼν καὶ τοῦ σμυρίζειν· οἱ ὠφέλιμοι εἰς πόνους ἀρμῶν καὶ ποδαλγίαν ἐξ αἰτίας

ψυχρᾶς: —

λαβὼν ἀλόης σκουτιτρίν· ἐντεριώνης· πιτύουσα ὁ ἐστι τὸ ποτηριτε· βδέλλιον· μυρο-
βάλανον ξανθὸν· ἀμμωνιακὸν· σαγάπηνον· ἀνὰ ϛΓ β· σαρκοκόλλαν· καστόριον·
εὐφόρβιον· ὀποπάνακα· κώνειον· σελινόσπερμον ἀνὰ ϛΓ α· κρόκον ∠ α· κόψας
σήσας, φύρασον μετὰ ὕδατος τοῦ μαράθρου· καὶ ποίησον κόκκους μικροὺς· ἡ δόσις ϛΓ α ϛ″
μετὰ ὕδατος χλιαροῦ·· κόκκοι διὰ ποδαλγίαν πρασινῖνοι· σὺν θεῷ τοῦ σεβουϊ :—
λαβὼν ἀνίσου· πλατυκυμίνου· λακοπίπερ· μακροπίπερ· κασσίαν· ἀνὰ ∠ α·
ζιγγίβερ· εὐφόρβιον ἀνὰ ∠ δ S· μαστίχης ∠ ς· ἑρμοδακτύλου ∠ η· κόψας σήσας, φύ-
ρασον μετ' οἴνου· ἡ δόσις ἐλαίου τοῦ ∠ α· μετὰ ὕδατος κυμίνου· ἢ ἑτέρου· Ἑρμοδα-
κτύλου· ἱερὰν πικρὰν· βάλανον κιτρίνον· πιτύουσαν, ἀνὰ μέρη α· κόψας ὁμοῦ καὶ
σήσας, φύρασον μετὰ ὕδατος τοῦ ψύχρου καὶ τῆς περιπλοκάδος· καὶ ποίησον κόκκους
ἡ δόσις ∠ β μετὰ ὕδατος θερμοῦ·· κόκκοι· ὠφέλιμοι διὰ πόνον ἀρθρῶν· καὶ ποδαλγίαν·
καὶ διὰ τὰ περιπολοῦντα ἐν τοῖς ἐντέροις καὶ πλάγοις· σὺν θεῷ τοῦ ἐμοῦ θεοῦ :—
λαβὼν κολοκυνθίδος ἐντεριώνης· ἀλόης· σαρκοκόλλαν· σαγάπηνον· βδέλλιον·
εὐφόρβιον· σκαμμωνίαν· πιτύουσαν· μαστίχην· ἀνίσου· φύλλα νεμ., ἀνὰ ϛΓ β·
κόψας σήσας· φύρασον μετὰ ὕδατος χλιαροῦ ἢ χυμοῦ κράμβης· καὶ ποίησον κόκ-
κους· ἡ δόσις ∠ β κατὰ τρεῖς ἡμέρας μετὰ ἐπιτηρήσεως· ὅτι διὰ ποδαλγίαν δεδοκιμασμένα
λαβὼν ἑρμοδακτύλου ∠ α· μυροβαλάνου ξανθοῦ ϛΓ β· ἀλυπιάδος λευκῆς, ϛΓ α·
ἀλόης ἡπατίτιδος ϛΓ δ S· κόψας σήσας· φύρασον μετὰ χυλοῦ πράσου καὶ ποίησον
κόκκους· ἡ χρῆσις ϛΓ α, μέχρι ∠ β μετὰ ὕδατος χλιαροῦ ἢ οἰνομέλιτος·· ἑτέρα διὰ
ποδαλγίαν, λαμβανόμενη ἐν παντὶ καιρῷ· χειμῶνι καὶ θέρει :— λαβὼν ἀλόης ἡπα-
τίτιδος· πενίδια· ἀνὰ ∠ ι· σαγάπηνον· μυροβάλανον ξανθόν· δαμασώνιον· τὸ πε-
λιλίτης· ἑρμοδακτύλου· ἀνὰ ∠ ε· πέπερι· μακροπίπερ· ἀνὰ ∠ β ς· χαλβάνης,
ὀποπάνακα· ἀνὰ ∠ α· καρδάμου λευκοῦ· ναρδόστακυν ἰνδικὸν ἀνὰ ∠ α· καὶ κόψας σή-
σας ζύμωσον μετὰ χυλοῦ πράσων· καὶ ποίησον κόκκους καὶ ξήρανον ἐν σκιᾷ· ἡ χρῆ-
σις ∠ β μετὰ ὕδατος χλιαροῦ· λαμβάνεται δὲ ἐν παντὶ καιρῷ· μετὰ ἐπιτηρή-
σεως καὶ δίαιτης· καὶ γὰρ ὠφέλιμος ἐστιν·· ἡ ἐπιπαραδιδομένη τοῖς βασιλεῦσι :—
λαβὼν μυροβαλάνου ξανθοῦ τὸν φλοιὸν· δαμασώνιον τὸ πελιλίτης· ἐμπλεκτ.
ζιγγίβερ ἀνὰ ϛΓ δ S· ὀρίγανον· ϛΓ ζ· ναρδόσταχυν ἰνδικὸν, ϛΓ δ β· ἑρμοδακτύλου
λευκοῦ ϛΓ κ· πενίδια ϛΓ ιβ· βδέλλιον, ϛΓ ιε· κόψας σήσας, ζύμωσον μετὰ χυ-
λοῦ ψύχρου· καὶ ποίησον κόκκους· καὶ ξήρανον ἐν σκιᾷ· ἅμα δὲ τῷ γνῶναι ὀδύνην
τὸν νοσοῦντα πρὶ βρωμάδος ἢ μετὰ βρῶσιν, λαμβανέτω ἐλαίου τοῦ ϛΓ β μετ' οἴνου·
καὶ καιρ. μετρίου τω· ἔμπλαστρος ὠφελοῦσα διὰ τὰ οἰδήματα τῆς ποδαλγίας τὰ ὄντα
ἐν χερσὶ καὶ ποσὶ· καὶ γόνασι· λαβὼν κριθάλευρον, ∠ ι· σάνταλον ἐρυθρὸν, ∠ ι·
ἀκακίαν ∠ ς· σμύρναν· κρόκον· ὀπίου ἀνὰ ∠ α· κόψας σήσας, φύρασον μετὰ ὕ-
δατος ψύχρου καὶ χρῶ ἐλαίου τοῦ μετ' ὀπώρ· ἵνα δὲ ξηρανθῇ, πάλιν ὕγραινε μετὰ ὕ-
δατος ψύχρου· χρῖσμα ὠφελοῦν διὰ τὰ αἰματώδη οἰδήματα καὶ διὰ τὰ ἀπὸ θέρμης ποδαλγ. :—

λαβὼν ἀλθαίαν· κρίθαλευρον· ψύλλιον· κρουσθέντα μετὰ χυλοῦ ἀνδράχνης ἐπι-
χέων ῥόδελαιον σὺν τῷ λευκῷ τοῦ ὠοῦ καὶ χρῖε τὸν τόπον. Χρῖσμα ὠφέλιμον εἰς θερμὴν
ποδαλγίαν· Ἑψήσας κωδύαν μετ' ὄξους, ἀνάμιξον μετὰ κριθαλεύρου καὶ τίθει
ἐπὶ τὸν τόπον. Φασὶ καὶ ὁ Διόσκορος ἰδίως· μίγνυται δὲ τοῦ ὀπίου μετὰ γάλακτος καὶ κρόκου
καὶ γενομένου ὡς χρῖσμα, παύει τὴν ὀδύνην τῆς ποδαλγίας τῆς ἀπὸ χολώδους θερμό-
τητος. Χρῖσμα εἰς θερμὴν ποδαλγίαν· Λαβὼν τὰ δύο σάνταλα· γλαύκιον, κρίθα-
λευρον ἀνὰ γο β· ὄπιον· κανίε· κρόκον· φακοάλευρον ἀνὰ ∠ β· κόψας σήσας, φύ-
ρασον μετὰ ὕδατος στρύχνου καὶ ῥοδελαίου καὶ τοῦ λευκοῦ τοῦ ὠοῦ καὶ ἄλειφε τῷ. Χρῖ-
σμα εἰς ποδαλγίαν τὴν συμβαίνουσαν ἀπὸ ψύξεως· ἀλειφόμενον μετὰ σποδοῦ καὶ ὄξους·
Λαβὼν σταφίδας ἐκγιγαρτισμένας· πήγανον· ἀναμιγνύων, τρῖβε καὶ κατάπλασσε
ἐν τῷ τόπῳ. Εἰ ἑψηθῇ ἡ ῥίζα τοῦ ἀγρίου σικύου μετὰ ὄξους καὶ τιθέτω κατὰ τοῦ τό-
που. Ἢ λαβὼν στέαρ χοίρου τίθει μετὰ ὕδατος ποῦ· ἢ στέαρ προβάτων τίθει· καὶ τὸ αἴ-
γειον στέαρ κοπτόμενον καὶ μαλαττόμενον μετὰ ὕδατος πολὺ ὀλίγου κρόκου καὶ τιθέμενον
ἐπὶ τοῦ ποδός, διαλύει τὸ πάθος αὐθωρεί. Χρᾶσθαι δὲ δυνάμεων θερμῶν εἰς δὲ σοὶ καὶ
ἀλοιφαῖς καθὼς προσπομ ἐν τῷ περὶ τοῦ ἰσχίου. Ἐν δὲ τῷ λόγῳ τούτῳ, εἰρή-
καμεν περὶ τῶν παθῶν τῶν συμβαινόντων ἐν τοῖς μέλεσι τῆς γενεαλογίας καὶ τὴν
ὁδὸν τῆς θεραπείας αὐτῶν κατὰ τὸν κανόνα τῆς ἰατρικῆς. Πρὸς ἀρθρῖτιν καὶ
ποδαλγικούς· Λαβὼν κέρας ἐλάφου, πρῖσον αὐτὸ κατὰ μικρόν, εἶτα θὲς αὐτὸ εἰς
χύτραν μετ' οἴνου, βράσον ἡμερονύκτιον· καὶ ὅπως ἵνα ἔχῃς ὅτι ἐμαλάχθη, κο-
πανίζου αὐτὰ εἰς ὅλμον καλῶς· καὶ πάλιν θὲς εἰς οἶνον, θὲς αὐτὰ ἐπὶ πυρός· καὶ ὅταν
ποιήσῃ πὶ μέλι, σύναξον αὐτὴν καὶ ἄλειφε·

Πίναξ τοῦ ἑβδόμου βιβλίου·

ιε περὶ λυσσοδήκτων καὶ τοῦ ὑδροφοβικοῦ πάθους :·
ις περὶ κόπου καὶ πόνου :·
ιζ · περὶ οἰδημάτων· συμβάλλεται δὲ ἡ τοιαύτη τάξις, καὶ εἰς τὸν ἐρυσίπελαν :·
ιη περὶ ἐρυσιπέλατος· ὃ λέγεται σαρακηνιστί, χαμαρίς :·
ιθ περὶ τῶν τραυμάτων, τῶν γνωριζομένων ἀνθρώπων :·
κ περὶ τῶν ἑρπόντων οἰδημάτων καὶ τῶν ἐξ αὐτῶν τικτομένων φαγεδαινῶν :·
κα περὶ ἀκροχορδόνων καὶ ἥλων· ἢ κοκορνίδων :·
κβ περὶ ἐλεφαντιάσεως· τουτέστι λώβης· ἢ κελεφίας :·
κγ περὶ λέπρας καὶ ἀλφῶν καὶ μελανότητος τῆς χροιᾶς τοῦ σώματος καὶ ἕλκους :·
κδ περὶ λειχήνων· καὶ κουβετῶν φυμάτων :·
κε περὶ ψώρας καὶ κνησμοῦ :·
κς περὶ λουβουσαρίων ἤγουν πανούκλων :·
κζ περὶ τῶν φυομένων τραυμάτων ἐν τῷ σώματι :·
κη περὶ χοιράδων :·
κθ περὶ τῆς λεπτοπυρώδους ψικομαρὶ καὶ τῆς λεγομένης παρὰ τοῖς ἰδιώταις δροτζίλας :·
λ περὶ ἡλάσματος καὶ ἐξαρμώσεως :·
λα περὶ τοῦ ἀποτεμνομένου αἵματος ἀπὸ ἐκτομῆς ξίφους καὶ ἑτέρου :·
λβ περὶ τῆς συμβαινούσης μελανότητος τοῖς ὄνυξι :·
λγ περὶ καύσεως πυρὸς καὶ τῆς θεραπείας αὐτοῦ :·
λδ περὶ τῆς πληγῆς τῆς γινομένης ἀπὸ τῆς συσφίγξεως τῶν ὑποδημάτων :·
λε περὶ τῆς θεραπείας τοῦ χίσματος τῶν ποδῶν :·
λς περὶ οὔρων :· λζ περὶ οὔρων ἐν πυρετοῖς :·

ἀρχὴ τοῦ ἑβδόμου λόγου τῆς βίβλου τῶν ἐφοδίων τοῦ ταξεώτου :

Διελθόντες τοίνυν χάριτι τοῦ θεοῦ ἐν τοῖς προλαβοῦσιν ἓξ λόγοις, ἐν τῷδε τῷ συγγράμματι περὶ τῶν συμβαινόντων παθῶν ἐν τοῖς μέλεσι τῶν ἐντός, φράσαντες τὴν μέθοδον τῆς θεραπείας αὐτῶν ἀναλυτικῶς, νῦν λέξομεν ἐν τῷδε τῷ ἑβδόμῳ λόγῳ, τέλος ὑπάρχοντι τῆς πραγματείας ταύτης, τὰ τῆς ἐπιφανείας πάθη· ἅτινα κοινωνοῦσι τοῖς ἐντὸς μέλεσι· καὶ τὴν μέθοδον τῆς τούτων ἰατρείας· κατὰ τὴν μέθοδον τῆς ἰατρικῆς· καὶ τὸν κανόνα τῆς τέχνης. ἀρχόμεθα ἀπὸ τοῦ ἐφημέρου πυρετοῦ· διὰ τὸ λέγειν περὶ τούτου τὸν Ἱπποκράτην ὡς σφαλερώτατος ὑπάρχει τῶν νόσων· καὶ τοῦ θανάτου κίνδυνον. βλάπτει γὰρ τὴν ἐπιφάνειαν τοῦ σώματος· καὶ τὰ ἐντός· καὶ βλάπτει τὰ πνεύματα· φημὶ τὰς ψυχικὰς δυνάμεις· καὶ τὰς φυσικὰς ἐνεργείας· ποιησόμεθα δὲ τὴν ἀρχὴν τῶν ἡμετέρων λόγων, ἀπὸ τοῦ ἐφημέρου πυρετοῦ· τοῦ φυομένου ἐν τοῖς πνεύμασιν· οὗτος γὰρ ὁ πυρετὸς συμβαίνει πλειστάκις, ἐξ ἐλαχίστης ἀφορμῆς· καὶ γίνεται αἴτιος

κατὰ τὸ πλεῖστον ἑτέρων πυρετῶν· ὁ δ' αὐτὸς οὗτος ἀφορμὴν παρ' ἑτέρου πυρετοῦ οὐ λαμ-
βάνει. ἀκολούθως δὲ φράσω περὶ τῶν εἰδῶν κατὰ τὴν ὁδὸν τῆς τάξεως ἣν ἐθέμην ἐν τῷ
προοιμίῳ ἡμῶν· παραθήσω δὲ καὶ διαλείπτους καὶ αὐτοὺς ἀριθμήσω· καὶ πρὸς αὐτοῖς καὶ ἀνάλυ-
σιν ἡμῶν : **κεφάλαιον πρῶτον. περὶ ἐφημέρου πυρετοῦ:**

Ὁ ἐφήμερος πυρετός, γεννᾶται ἐξ ἐπιτεταμένης θερμότητος· θερμαινομένων τῶν πνευμάτων, α
ἐκτὸς ὕλης καὶ σήψεως· καὶ διὰ τοῦτο οὐκ ἐπέχει πλέον ἡμέρας μιᾶς· φημὶ δὲ πνεύματα,
τὸ ζωτικὸν πνεῦμα, ὅπερ ὑπάρχει ἡ κρηπὶς τῆς ζωῆς· καὶ ἡ ὕλη τῆς ἐμφύτου θερμότητος·
δεύτερον τὸ ψυχικὸν πνεῦμα, ὅ ἐστιν ἡ πηγὴ τῆς αἰσθήσεως καὶ τῆς κινήσεως· τρίτον τὸ
φυσικὸν πνεῦμα, ὅπερ ἐστὶν ἡ πηγὴ τῶν τεσσάρων φυσικῶν δυνάμεων· τῆς ἑλκτικῆς
φημὶ· καθεκτικῆς· πεπτικῆς καὶ ἐκκριτικῆς. οὗτος δὲ ὁ πυρετὸς διαιρεῖται τρι-
χῶς· ὅτι πρῶτος, ἐστὶν ἐξ αὐτοῦ ὅπερ ὑπάρχει καθ' αὐτὸ νόσος· καὶ ἐξ αὐτοῦ γίνε-
ται κατὰ συμβεβηκὸς ἑτέρας νόσου προηγησαμένης· καὶ γὰρ ὁ ἐξ αὐτοῦ καὶ καθ' αὐτὸ
νόσος, ἔχει αἰτίας τρεῖς· μίαν μὲν, ἐξ αἰτίας τῆς ἐπιφανείας καταλαμβανούσης ταύ-
την καὶ πασχούσης· οἷον ἐκ τῆς θερινῆς θέρμης τοῦ ἡλίου· καὶ τῶν δηλητηρίων· καὶ τῆς
φοβερωτάτης ψύξεως· τῆς στεγνώσεως, τῆς θαψίας· τοῦ τιθυμάλλου· ὀριγάνου
καὶ τῶν λοιπῶν· καὶ τῶν λουτρῶν τῶν ἐχόντων δύναμιν ξηραντικὴν τῆς ἐπιφανείας τῶν
σωμάτων· καὶ πυκνωτικὴν ὡς τὰ νιτρώδη ὕδατα· καὶ στυπτηριώδη. καὶ θειώδη.
δευτέρα δ' αἰτία, ἡ κατὰ πλῆθος τῆς σωματικῆς κινήσεως· ὡς ὁ κόπος, ἡ στάσις· τὸ δι-
ωκτικῶς περιπατεῖν· καὶ τὰ ὅμοια· καὶ ἡ κατὰ πολὺ ψυχικὴ κίνησις· ὡς ὁ θυμὸς ὁ φό-
βος ἡ ὀργή· ἡ συνεχὴς ἔννοια· ἐν λύπαις καὶ θλίψεσι καὶ πάντα τὰ λοιπὰ πάθη τῆς ψυχῆς.
ἡ δὲ τρίτη αἰτία, ἐκ τοῦ ἐσθίειν δριμυτικῶν βρωμάτων, καὶ πομάτων θερμαινόντων τὸ αἷμα.
καὶ τὰ ὅμοια· παρεπόμενος δὲ ὁ πυρετὸς ἐπὶ βουβῶσι καὶ οἰδήμασι τῶν μασχαλῶν καὶ τοῦ
σπονδύλου καὶ τῶν ὁμοίων· τὸ γὰρ ὑπάρχον αἷμα ἐν τοῖς οἰδήμασιν, ὅπερ κατέρχεται
καὶ μὴ διαλύεται διὰ τάχους, πήγνυται καὶ σήπεται· καὶ θερμαίνει τὸ ζωτικὸν πνεῦ-
μα· ἀφικνουμένη ἡ θερμότης αὐτοῦ ἐν τῇ καρδίᾳ, διὰ τὸ συνῆφθαι τὰς ἀρτηρίας
μετὰ τῆς καρδίας· καὶ συμβαίνει ὡς ἐκ τούτου, ὁ ἐφήμερος. ὁ ἐφήμερος πυρετὸς ταῦ-
τα δὲ ὡς εἰσὶ τὰ καθολικὰ αἴτια τοῦ ἐφημέρου πυρετοῦ· νῦν οὖν διηγήσομαι ἰδίως ἑνὸς
ἑκάστου συμβεβηκότος· καὶ τὸ τεκμήριον αὐτοῦ· καὶ κατ' ἴχνος τούτου, λέξω τὴν οἰκο-
νομίαν τὴν ὠφελοῦσαν τοὺς οὕτω πυρέττοντας διὰ στεγνώσεως· καὶ φημὶ ὅτι τοῦ συμ-
βαίνοντος ἐφημέρου πυρετοῦ ἐξ ἡλιοκαΐας, ποιεῖ ταῦτα· τῶν πασχόντων κεφαλὰς, θερ-
μοτέρας τῶν σωμάτων· διὰ τὸ ἐγγίζειν τὴν τοῦ ἡλίου φλόγωσιν εἰς τὸν ἐγκέφαλον αὐτῶν·
καὶ πληθυνομένης τῆς κεφαλαλγίας, ἐρυθραίνονται τὰ πρόσωπα αὐτῶν· πολλάκις δὲ
συμβαίνει τούτοις κατάρρους θερμός· ὑπὸ κακίας τῶν μυκτήρων· ὁ δὲ συμβαί-
νων πυρετὸς ἀπὸ τῆς λήψεως τῶν δηλητηρίων, ὑπάρχει ἡ τῶν σωμάτων θέρμη,
πλέον τῆς κεφαλῆς τοῦ πάσχοντος· καὶ ἡ ἐπιφάνεια τοῦ σώματος, ξέουσα καὶ κατὰ τὸ ἔξω-
θεν· καὶ γὰρ θέρμη τῶν δηλητηρίων, ξηραίνει τὴν ὑγρότητα τῶν σωμάτων· ὁ δὲ συμ-

Signa febricularia febrium

συφοιτι

μβαίνων πυρετὸς ἀπὸ ψύχους ἢ κρύους, ἔχει σημεῖα τοιαῦτα· αἱ χροιαὶ τῶν ὄψεων τῶν πασ-
χόντων, ἀλλοιοῦνται· ποτὲ καὶ ἄλλως τοῦ αἵματος καὶ τοῦ προσώπου αὐτῶν μεταστρέπε-
ται· καὶ μεταβαίνει εἰς εἶδος στυγνόν· ψύχεται δὲ καὶ ἡ ἐπιφάνεια τοῦ σώματος· καὶ ξηραίνε-
ται, καὶ σκληροῦται· αἰσθάνονται δὲ ἐν τῇ κεφαλῇ ψύχους καὶ βάρους· ὁ δὲ συμβαίνων
πυρετὸς ἀπὸ λουτροῦ στύφοντος ὑδάτων καὶ ξηραινόντων, ἔχει σημεῖα τοιαῦτα· αἱ σάρ-
κες τῶν πασχόντων σκληρότεραι, ἢ τῶν πυρεττόντων ἀπὸ ψύχους ἢ κρύους· ἐλαφροὶ
γὰρ τὰ δέρματα αὐτῶν, ἀλλ' ἰσχνὰ ὥσπερ ἐβραχνά εἰς ... ἰδεῖν· καὶ σκληρὰ
καὶ πολύ· εἰ δὲ ἐπιθήσεις τὴν χεῖρα ἐν τῷ τόπῳ τοῦ σώματος αὐτῶν εὑρήσεις, θερμαίνεται τὸ δέρμα ἐκ
τῆς θερμότητος τῆς χρόνου· διαλύεται δὲ ἀπὸ τῶν σωμάτων αὐτῶν, ἀλλ' ἐν δαπεπλησμέ-
νη πυκνότης· καὶ ἀφίησι τὸ δέρμα αὐτῶν ἀτμοὺς λεπτοὺς ὀξυτάτους· ὁ μὲν οὖν ἐφήμε-
ρος πυρετὸς ὁ συμβαίνων ἀπὸ θερμῶν βρωμάτων ἢ πομάτων, ἐκ δὲ τούτου τὸ βρῶμα ἐξ αὐτῆς τὸ αἷ-
μα ἐκ τῆς τοῦ θερμότητος· κατὰ τὴν τοῦ φυσικοῦ πνεύματα· τὸ γὰρ σκήνωμα τοῦ αἵ-
ματος ἐστὶν ἐν τῷ ἥπατι· ἐκ δὲ τούτου συνέχεται ἡ θερμότης μετὰ τῆς καρδίας· καὶ ἐξα-
πλοῦται ἐν παντὶ τῷ σώματι διὰ τῶν ἀρτηριῶν· τῶν ἀπὸ τῆς καρδίας ἐξερχομένων·
καὶ διὰ τοῦτο ὑπάρχει τὸ εἶδος τοῦ πυρετοῦ τούτου, ἀπὸ τοῦ ψυχικοῦ πνεύματος
τὸ οὖρον ἐρυθρότερον· παρὰ πάντας εἴδους ἐφημέρου πυρετοῦ· τὸ γὰρ οὖρον ἐστὶ τὸ ὀρ-
ρῶδες τοῦ αἵματος καὶ τὸ διϋλίσμα τῶν χυμῶν· καὶ διὰ τοῦτο φαίνεται ἐν τῇ ὥρᾳ τῆς
ἀκμῆς τοῦ πυρετοῦ, θερμότατος ἐν τῷ ἥπατι· ὁ δὲ πυρετὸς ὁ γινόμενος ἀπὸ πόνου σω-
ματικοῦ, ἔχει τὰ σώματα τῶν πασχόντων βεβαρημένα· σκληρὰ καὶ ξηρά· ἐν δὲ τοῖς με-
λεσιν αὐτῶν καὶ ἄρθροις, αἰσθάνονται συντρίμματος ἰσχυροῦ καὶ μαλακοῦ διὰ τοῦ
πυκνοῦ· ὁ δὲ ἱδρὼς αὐτῶν ἐν τῇ ἀκμῇ τοῦ πυρετοῦ ἐλάττων, παρὰ πάντων τῶν εἰ-
δῶν τοῦ ἐφημέρου πυρετοῦ· καὶ γὰρ ὅταν παρέλθῃ ὁ τύπος τοῦ τοιούτου πυρετοῦ
καὶ ἔρχεται καὶ ἔρχεσθαι εἰς τὴν κατάβασιν, διαλύεται ἀπὸ τῆς ἐπιφανείας τοῦ σώματος
διανοτίδες, παρομοιούμενα τῇ ἐξερχομένῃ ἀπὸ τοῦ σώματος νοτίδι διὰ λουτροῦ·
ἐξ αὐτῶν δὲ ὀξεῖς ἱδρῶτες, χρηστοί· ἀδύνατον γὰρ ... οὐδὲ ἱδρὼς, οὐ κενοῖ πῶς γενέσθαι
ἀτμὸς πολὺς ἀνερχόμενος ἐκ βάθους τοῦ σώματος· ὁ δὲ συμβαίνων ἐφήμερος
πυρετὸς ἀπὸ ὀργῆς καὶ θυμοῦ, σημεῖον αὐτοῦ ἐρυθρότης προσώπου καὶ ὄγκος ὀμμάτων
καὶ ταχεῖαι κινήσεις αὐτῶν· καὶ ξηρότης τῶν κανθῶν φημὶ τῶν βλεφάρων· δύναμίς τε
τοῦ παλμοῦ τῆς ἀρτηρίας αὐτοῦ, καὶ μέγεθος· καὶ πολλάκις τὸ εἶδος τῶν πασχόντων, ὠ-
χρὸν γίνεται· καὶ συμβαίνει τούτοις τρόμος· καὶ τοῦτο ἀμίγνυται μετὰ θυμοῦ καὶ ὀργῆς,
πόνοις· καὶ ὁ μὲν πυρετὸς ὁ συμβαίνων ἀπὸ λύπης καὶ θλίψεως, ποιεῖ τοὺς τῶν πυ-
ρεττόντων ὀφθαλμοὺς κοίλους ἠρέμους· μηδέποτε τὴν φαιδρότητα τοῦ προσώπου αὐ-
τῶν· καὶ τὸ εἶδος τούτων ἀπρεπές· μαραίνεται δὲ τὸ σῶμα αὐτῶν· καὶ ὁ σφυγμὸς λεπτὸς
καὶ τὸ οὖρον ὀξέα· τουτέστι βεβαμμένα· ταῦτα εἰσὶ τὰ καθόλου σημεῖα τῶν θλιβομένων καὶ
λυπουμένων· ἀπὸ ποίου δὲ τρόπου ἐφοίτησεν, αἰνίττεται ὁ σοφώτατος· λέγων τὸν ἐπελ-
θόντα τρόπον, ἐπὶ τοῖς λυπουμένοις ὧδε τὴν αἰτίαν· καὶ τὴν ἀφορμὴν, καὶ τὸ εἶδος·

ἐχόντων ἢ λύπῃ τούτοις ἐγκαλεῖ· οἷον ἐλυπήθησαν ἐπὶ θανάτου γονέων ἢ ἀδελφῶν ἢ τέ-
κνων, ἢ ἰδίου ἢ φίλου ἢ πιστοῦ ἢ καὶ διαλλακτῆρος· ἕτεροι δὲ ἀφαιρέσει πλούτου ἢ δι-
ὰ θυμὸν ὀργῆς καὶ ἀγανακτήσει βασιλικῇ· ἔνιοι δὲ ἐκ δεινῆς ἀρρωστίας· καὶ τῶν ὁμοίων
πλησιεστέρα δὲ διαφορὰ ἔσω ἢ διὰ τῶν ὀφθαλμῶν ἐπὶ τοῖς λυπηθεῖσι δηλώσεις·
ὡς κοῖλοι καὶ γαληνοί· μαρτυρεῖ τοῦτο δὲ ὁ ἰατρὸς πολλάκις, ὥσπερ οἱ ὀφθαλμοὶ τοῦ πάσχοντος
ὑπάρχουσι κοῖλοι κατὰ τὴν φύσιν καὶ διάπλασιν· ἀλλ' ὥσπερ μὴ ὑπάρχειν κοίλους τῇ-
δε τῷ ὥσπερ ἐγένοντο κοῖλοι ἐν τῇ λύπῃ· καὶ σημειοῦσθαι γινωσκόμενος τὸ σῶμα βα-
ρύ· τὰ οὖρα δὲ αὐτῶν εἰς πλῆθος καὶ τριτά, διὰ τὴν πολλὴν θλῖψιν ἀπὸ τῆς θερμασί-
ας δύναται κατὰ περιάγειν· ὁπηνίκα δὲ ὁ ἰατρὸς γνῶ τὴν αἰτίαν τοῦ ἐφημέρου πυρετοῦ
καὶ πιστοῦται διὰ τῶν προλεχθέντων σημείων, δεῖ πρῶτον λούειν ἐν βαλανείῳ τοὺς πυρέ-
ττοντας· ὥσπερ δὲ ἂν ὑπάρχῃ ὁ πυρετὸς ἐξ ἡλιουσίας ἢ δηλητηρίων, λουέσθω μετὰ
τὸ ἠρεμῆσαι τὸν πυρετόν, καὶ διελθεῖν τὴν τούτου αὔξησιν· μαρτυρεῖ τοῦτο δὲ ἐν αὐτῷ· τροφὴ-
τωσαν δὲ ἐνώπιον αὐτοῦ τὰ ἡδύ ποτὰ ἄνθη καὶ ψύχοντα, καὶ ὀσφραινέσθωσαν τοὺς ἀτμούς,
ὡς ῥόδα, ἴα, φοίνικας, ψύλλιον· ἀπαλειφέσθωσαν δὲ καὶ οἱ μέτωποι αὐτῶν καθαρὰ
μετὰ ἐλαίου καὶ τῆς νυμφαίας· χριέσθωσαν δὲ καὶ αἱ μήνιγγες αὐτῶν μετὰ ῥοδελαίου,
συγκεκραμένου μετὰ ὄξους· ἐπιχεῖ δὲ ἐπὶ τῶν κεφαλῶν αὐτοῦ μετὰ τὴν λῆξιν τοῦ
πυρετοῦ, ἕψημα χαμαιμήλου καὶ ἴων· καὶ τοῦτο ὥσπερ ἂν καταρρόους ἔχουσι καὶ ἀνώδυνοι εἰσὶ
τῶν κεφαλῶν· ὅσοι δὲ μέρος πλῆς μονῆς ἐγκεφάλου ἔχουσι, μὴ ποιεῖ τοῦτο, ἀρκοῦ
δὲ ποτικὸν πιεῖν καὶ ὀσφραίνεσθαι· τοῦ τούτων ἀτμόν· πίνετωσάν τε τὸ ὕδωρ
τῶν διορρόων μετὰ σακχάρου· τὸ γε ζουλάπι τῶν ἴων· τῶν ῥόδων· τῶν δαμασκηνῶν·
τρεφέσθωσάν τε μετὰ ψίχων ἄρτου πεπλυμένων· καὶ μετὰ σακχάρου· τρεφέσθω-
σαν δὲ πάλιν μετὰ ἀνδράχνης· καὶ τῶν ἐντὸς τοῦ σικύου· τῆς τε καρδίας τῆς θρι-
δακος· καὶ μασάσθωσαν τὰ ῥόα· ἕψημα τοῦ δὲ περδίκος καὶ ἀλεκτρυόνων μετὰ ὀμφακί-
νου ὄξους· ἢ μετὰ ὕδατος τῶν ῥοῶν· ταῦτα μετὰ τὴν ἐμβολὴν τῆς θερμότητος·
ὅσοι δὲ ἐστὶν ὁ πυρετὸς ἀπὸ ψύχους ἢ πυρετοῦ, χρὴ μετὰ τὴν πέψιν τοῦ περιττώματος
καὶ τὴν ἀποφυγὴν τοῦ πυρετοῦ, λούειν τοὺς πόδας, εἰς ἀφέψημα χαμαιμήλου·
μελιλώτου· καὶ ἀνήθου· καὶ ἐπικλίνειν εἰς τὴν τούτων ἀναθυμίασιν· καὶ μετὰ ταῦτα
εἰσιέναι εἰς λουτρὸν ἡδύ· καὶ παραμένειν καθαρὸν εἰς τὸν ἀέρα τοῦ λουτροῦ· μὴ κα-
θέζεσθω δὲ εἰς ψυχρὸν οἶκον· ἐπειδὴ ὁ ἀὴρ τοῦ λουτροῦ, ἀραιοῖ τὰ σώματα καὶ διαλύ-
ει τὰ τούτων ὑγρὰ καὶ ἀνοίγει τοὺς πόρους· ὅστις δὲ ἔχει κατάρρουν ἀπὸ ψύξεως, ἀπεχέ-
σθω τοῦ λούεσθαι παντάπασιν· μετὰ δὲ τὴν πέψιν τοῦ περιττώματος καὶ τὴν τούτου διά-
λυσιν, λουέσθω· ὀσφραινέσθωσαν δὲ πνοὰς ἡδυτάτας· ὡς μόσχον, σαμψύχου·
λαδάνου· καρυόφυλλον· τὸ γίζι, καὶ τὰ ὅμοια· καὶ θαλφθήτωσαν οἱ πάσχοντες διὰ τῶν ἱμα-
τίων· τιθέτωσαν δὲ πλησίον τούτων ἀνθρακιὰς πυρὸς· τοῦ κωλῦσαι τὸ ψῦχος τοῦ ἀέρος
ὁμιλεῖν αὐτοῖς καὶ πλησιάζειν· ῥανάτωσαν δὲ κατὰ τὰς κεφαλὰς αὐτῶν, ἀλοιφαῖς
θερμαινούσαις συμμέτρως· ὡς τὸ χαμαιμήλελαιον, τὸ ἀνηθέλαιον· τοῦ γίζι· τὸ

σου σίνου· ἢ τὰ ὅμοια. εἰ δὲ συμβῇ ὁ τοιοῦτος πυρετὸς ἐκ λουτρῶν στυφόντων ὑδάτων ἢ ξηραι-
νόντων, ὥστε ἁλμυρὰ ἢ νιτρώδη ἢ θειώδη· δεῖ κωλύειν τοὺς τοιούτους λούεσθαι, ἵνα μὴ ἐμ-
πλάσιν ταῖς τοῦ πυρετοῦ αὐξήσεως· καὶ κατάπαυσιν· εἰσβάλλειν δὲ τοὺς πόδας
τοῦ κάμνοντος εἰς ἀφέψημα χαμαιμήλου· μελιλώτου· σαμψύχου· ἀνήθου ἢ τῶν ὁμοίων·
ὀσφραίνεσθαι δὲ δεῖ ἐκ τῆς ἀτμῆς τοῦ ὕδατος τῶν βοτανῶν· εἰσέρχεσθαι δὲ εἰς τὸ βαλανεῖον
καὶ μαλάσσειν τὸ σῶμα αὐτοῦ· καὶ τρίβειν ἁπαλῶς· καὶ ἐπιχέειν ὕδωρ γλυκὺ καὶ χλιαρὸν
ἐν τῷ σώματι· τοῦτο γὰρ λεῖον τὸ σῶμα ποιεῖ· καὶ μαλάσσει τὸ δέρμα καὶ ἀνοίγει τοὺς πόρους
αὐτοῦ· φεύγειν δὲ δεῖ τὰς ἀλοιφὰς ἐν τῷ λουτρῷ· πυκνοῦσι γὰρ τὸ σῶμα καὶ ἐμφράσσουσιν
ἐν τοῖς τοὺς ἀτμούς· τὸ δὲ γυμνάζεσθαι, συμμέτρως, διὰ βελτιώτερον πρᾶγμά ἐστιν
ἐν τούτῳ τῷ πυρετῷ· διότι ἀραιοῖ τὸ σῶμα· καὶ ἀνοίγει τοὺς πόρους καὶ διαλύει τοὺς
ἀτμοὺς τοὺς ἐγκεκλεισμένους ἐν αὐτῷ· καὶ καθόλου δεῖ ἀποδιδράσκειν πᾶν τὸ ἀποκλεῖ-
ον τὸ δέρμα τοῦ σώματος καὶ πυκνοῦν· ἐσθίειν δὲ δεῖ τροφὰς εὐπέπτους· καὶ πίνειν
τὸ ζουλάπιον σακχάρεως σὺν κεκερασμένον μετὰ ὕδατος· εἰ περ δὲ συμβῇ ὁ τοι-
οῦτος πυρετὸς ἀπὸ θερμῶν βρωμάτων, δεῖ πίνειν τὸν ἄρρωστον ὀξυσάκχαρ· καὶ τὸ ὕδωρ
τῶν ῥόδων μετὰ ζουλαπίου· ἢ μετὰ σακχάρεως· καὶ μετὰ τὴν ἀπέλευσιν τοῦ πυ-
ρετοῦ, πίνειν τοὺς τροχίσκους τοὺς διὰ σποδίου· καὶ τὰς καφουρὰς μετὰ ζουλαπίου τῶν
ῥόδων· καὶ τῶν ἴων· καταπλάττειν δὲ τὸ ἧπαρ, μετὰ φακοῦ τοῦ ἐπὶ τῶν τελμάτων·
ἢ μετὰ ἀνδράχνης καὶ τοῦ γλίσχρου τοῦ ψυλλίου· τοῦ γε ἀποζέματος τῆς κολο-
κύνθης· σαντάλου κρυστάλλου· ὀλίγης καφουρᾶς πεφυρμένης μετὰ ῥοδοστάγματος·
ἔστω δὲ ἡ τροφή, ἀνδράχνη· ἴντυβα· κολοκύνθη· ἀτράφαξις· σὺν κεκραμένῳ τῷ δὲ
τὸ ὕδωρ μετὰ ζουλαπίου τοῦ ψυλλίου· ἢ τῶν διορόδων· εἰ περ δὲ συμβῇ ὁ τοι-
οῦτος πυρετὸς ἀπὸ κόπου σωματικοῦ, δεῖ περιποιεῖσθαι ἠρεμίαν καὶ ἀνάπαυ-
σιν· χρίειν δὲ τὰ σώματα αὐτῶν μετὰ ῥοδελαίου· καὶ ἰελαίου· ἢ τῆς νυμφαίας.
καὶ εἰσιέναι εἰς λουτρὸν ἔχον ὕδωρ γλυκὺ καὶ ἀέρα σύμμετρον· μὴ ἐπιμένειν δὲ τῇ
ἐν αὐτῷ καθήσει· μετὰ δὲ τὸ ἐξελθεῖν αὐτοὺς ἀπὸ τοῦ θερμοῦ ὕδατος καὶ
ἱδρῶτος, ἀλειφέσθωσαν μετὰ ῥοδελαίου, καὶ ἰελαίου· πινέτωσάν τε τὸ ὕδωρ τῶν διο-
ρόδων μετὰ ζουλαπίου τῶν ἴων· ἢ τῶν δαμασκηνῶν· τρεφέσθωσαν δὲ διὰ τῶν ὑ-
γραινόντων τροφῶν· οἷον ἀλεκτρυόνας· κρέα ἐρίφων· προσφάτους ἰχθύας· καὶ τὰ
ὅμοια. εἰ δὲ συμβῇ ὁ τοιοῦτος πυρετὸς ἀπὸ ἐπιτάσεως ψυχικῆς κινήσεως, δεῖ ἐναν-
τιοῦσθαι τῇ αἰτίᾳ τῇ βλαπτούσῃ τὴν ψυχὴν καὶ κοπιώσῃ αὐτήν· μετὰ τῶν ἐναν-
τίων, οἷον τοῦ θυμοῦ· τὴν ὀργήν· καὶ τὴν λύπην· καὶ ἠρεμοῦν τὴν ψυχὴν καὶ ἡδυνόν-
των, διὰ γελοίων καὶ ἔργων· ἀσχολεῖσθαι δὲ εἰς τὰ εὐφραίνοντα ᾄσματα καὶ τέρψιν ποι-
οῦντα· ἀεὶ τῆς μουσουργίας· καὶ βλέπειν εἰς ἃ τὴν ψυχὴν ἐπιτέρπουσα καὶ ἐφέλκει καὶ
μεταβάλλει· ὡς αἱ πρασιαὶ καὶ χλοεραὶ ἀνάπνοαι, καὶ τὰ ὡραῖα πρόσωπα.
σὺν τούτοις δὲ καὶ διὰ τῆς ἀναγνώσεως τῶν μαθημάτων εἰ ποθεῖ· λεξίαν παρέχειν τῷ σώματι·
διὸ ὑγραίνει καὶ τὴν ξηρότητα ἀποιμύζει καὶ τὴν σύμβασιν αὐτῶν· ὡς τὸ ἄστρ-

χέσθω δὲ λουτροῦ γλυκυτάτου ὕδατος καὶ ἀέρος συμμέτρου· μετὰ δὲ τὴν ἐξέλευσιν τοῦ β,
χριέσθω μετὰ ῥοδίνου ἐλαίου ἢ τῆς νυμφαίας· ἀπεχέσθω δὲ κινήσεως καὶ συνουσίας
καὶ χρονίας διαμονῆς ἐν τῷ βαλανείῳ· διότι ξηραίνει τὰ σώματα· τρεφέσθωσαν δὲ
διὰ πτισάνης, κολοκυνθῶν, ἀνδράχνης, ἰντύβων, βλήτων· ὀπώραι δὲ ἁπαλαὶ
ὁ πυρετὸς, τρεφέσθω ὀρτυγάς, ἀλεκτρυόνας, κρέας ἐρίφων· καὶ πινέτω οἶνον ἀνυδ-
ρον· καὶ ὀσφραινέσθω σάνταλον, καφουράν, ῥόδα, ἴα, μυρσίνην, μασάσθω
δέρα· καὶ τὸ τῆς σταφυλῆς ὕδωρ τῆς χειμωνίας· πινέτω δὲ τὸ ὕδωρ τοῦ πρασί-
νου πέπονος μετὰ σακχάρεως καὶ παντελῶς ἀποσχέσθω τὰ ξηραντικά· καὶ ξη-
χριέσθω δὲ τὰ ὑγραντικά· τεκμαιρόμενος τὴν δύναμιν τοῦ ἀρρώστου, τὴν ἡλι-
κίαν, τὸν καιρὸν, τὴν φυσικὴν κρᾶσιν, τὴν συνήθειαν, τὸν τόπον καὶ τὰ ὅμοια.
γίνεται ἀπὸ τοῦ οἰδήματος τῶν βουβώνων, συνοχὸς ὁ πυρετός, ἡ θεραπεία γινέσθω
τῶν βουβώνων, καὶ ποιεῖν πάντα τὰ τούτων διαλύοντα καὶ μαλάττοντα· ὡς τὸ ὠ-
χρὸν τῶν ᾠῶν μετὰ ἀμπελίνης τέφρας καὶ ῥοδελαίου· τὴν μαλάχην ἑψημένην με-
τοῦ σπέρματος αὐτῆς· σπέρματος σελίνου καὶ τήλεως· πίτυρον, ῥοδέλαιον· ἢ τὴν
διάχυλον καὶ τῶν ὁμοίων· οὗτος ἐστὶν ὁ σύντομος λόγος τῆς θεραπείας αὐτοῦ :~ β

κβ´ κεφ. , περὶ καύσου πυρετοῦ :~

Τῷ καυσώδει πυρετῷ· ἕπεται δὲ δίψα ἀφόρητος δυσανεμώς· καὶ θερμασία τὰ πάντως
βλαβερὰ κλίνουσα τὰς φύσεις καὶ ἐρεθίζουσα αὐτὰς εἰς τὸ παλαίειν τὴν νόσον καὶ ἀ-
γωνίζεσθαι τοῦτον ἀπαρχῆς· διὰ τῆς ὀξύτητος τῆς γεννώσης αὐτὸν ὕλης καὶ δριμύτητος·
ἐπειδὴ ἡ φύσις αὐτοῦ ἐξ ὕλης ὀξυτάτης πικρώδους καὶ χολώδους ἐπισυναχθείσης ἐν
τοῖς κενοῖς τῶν πλησιαζόντων φλεβῶν τῆς καρδίας· ἰδίως δὲ ἐν ταῖς φλεψὶ τοῦ στόμα-
τος τοῦ στομάχου καὶ εἰς τὰ κοῖλα τοῦ ἥπατος καὶ τοῦ πνεύμονος, καὶ τῆς ἀρτηρίας τῆς
τραχείας· τὰ δὲ παρεπόμενα συμπτώματα τῷ τοιούτῳ πυρετῷ, ἐστὶ θέρμη καὶ διάλειπ-
τος δίψα καὶ ἀγρυπνία· τὸ εἶναι γοῦν τὴν θέρμην ἐν τῷ καυσώδει πυρετῷ ἀδιά-
λειπτον, ἐστὶ τὸ αἴτιον ὅτι ἔχει τὰς ὕλας ἐν τοῖς τῶν φλεβῶν· σφοδροτάτη δὲ καὶ συχνο-
τάτη, διότι τὸ πλέον τῆς χολῆς τῆς γεννησάσης τὸ ζέον τοῦ πυρετοῦ, ὑπάρχει ἐν ταῖς
φλεψὶ ταῖς πλησιαζούσαις τὴν καρδίαν· οὔσης δὲ τῆς γεννησάσης χολῆς τὸν τοιοῦτον πυ-
ρετὸν ἰδίως μετὰ τῶν φλεβῶν τοῦ στόματος τοῦ στομάχου· καὶ τῶν κοίλων τοῦ ἥπατος
καθὼς ὑπεδείξαμεν, ἰσχυρὰ ἡ δίψα· ἐπιτείνεται καὶ οὐ παύεται· τὰ δὲ εἴδη τοῦ καύ-
σου πυρετοῦ, διχῶς· τὸ μὲν καθαρὸν καὶ δύσκολον· τὸ δὲ ἕτερον, ἄχειρον καὶ ῥᾷον· τὸ
μὲν οὖν καθαρὸν καὶ δυσκαταγώνιστον ἐστὶ, τὸ γεννηθὲν ἀπὸ τῆς ξανθῆς χολῆς τῆς ὀξυ-
τάτης καὶ δριμυτάτης· ἡ δὲ πλείων γέννησις αὐτῆς, ἐν τοῖς μειρακίοις καὶ νεωτέροις·
καὶ τοῖς φύσει ἔχουσι τὴν κρᾶσιν ὀξυτάτην καὶ δριμυτάτην· μάλιστα δὲ ἐν τῷ και-
ρῷ τοῦ θέρους· διότι ὁ θερινὸς καιρὸς κρατύνει τὸν πυρετὸν τοῦτον φύσει, καὶ προστί-
θησιν αὐτόν· τὸ δὲ ἄχειρον, ἐστὶ τὸ ἀναμεμιγμένον τῆς ξανθῆς χολῆς μετὰ ὑγρότητος
ἢ δύσεως καὶ συναρτήσεως ἢ ἱδρῶτι· διὰ οὖν τὸ εἶναι τὸν τοιοῦτον πυρετὸν σφαλερὸν καὶ

παγχάλεπον· πρόδρομον γε θανάτου. δεῖ τὸν ἰατρὸν ἐξ ἀρχῆς προορᾶν αὐτὸν καὶ ἐξε-
τάζειν τοὺς τέσσαρας καιρούς· τουτέστι τὴν ἀρχὴν· τὴν ἀνάβασιν· τὴν ἀκμὴν· καὶ κα-
τάβασιν· καὶ ποιεῖν ἃ δεῖ ποιεῖν· ἅπερ οὖν ἰδὼν τὴν ἀρχὴν τῆς νόσου ὅτι δέεται ἡ
φύσις κενώσεως ὕλης, δεῖ πίνειν τὸ ἀπόβλιμμα τῶν ὀξυφοινίκων ἢ τῶν δαμα-
σκηνῶν καὶ ζιζίφων· μετὰ τοῦ ἐντὸς τοῦ μέλανος καλάμου μανναζέκης ἴων, καὶ τὰ
τούτοις ὅμοια· εἰ δέ τι ἐμποδίσθη ὁ ἰατρὸς κενῶσαι τὴν φύσιν ἐν ἀρχῇ τῆς νόσου,
εἴτε διὰ ἀδυναμίαν ἢ παχύτητα ὕλης, δεῖ ἀποφράξαι ταύτην, ἐν τῇ ἀναβάσει τῆς
νόσου· ἀνάβασις δέ ἐστιν, ὅταν ἡ ἀσθένεια καταύξηται εἰς τὸ ἄνω καὶ ἀπήτει· καὶ εὑ-
ρίσκον αὐτὸν ἡ ἀσθένεια· ἐὰν γὰρ ποιήσῃς ταύτην, σκοτοῦται ἡ προνοητικὴ φύσις, δι-
ὰ τὸ ἀσχολεῖσθαι αὐτὴν μετὰ τοῦ βοηθήματος τῆς νόσου· ὅπως ἀποτύχωσι τῆς
κενώσεως ἐξ ἀρχῆς τῆς ἀρρωστίας, χρὴ βοηθεῖν τὴν φύσιν πρὸς τὸ φυλάττειν
αὐτὴν διὰ τῶν ἐπιτηδείων τροφῶν· καὶ ἀλχίμων καὶ οὐσίαν χρησιμευόντων· ὥστε
ἀντέχειν τῇ ἰατρείᾳ· αἱ ἐπιπλήμμελαι ψύχαι τοῦ ἄρτου πολλάκις· ὁ δὲ Γαληνὸς φη-
σὶν ἐν τῷ περὶ κρισίμων ἡμερῶν· πῶς χρὴ τὸν ἰατρὸν προνοεῖσθαι ἐν τοῖς νοσοῦσι
ταῖς ὀξυτάταις ἀρρωστίαις, λέγων· οἱ τρόποι τῆς οἰκονομίας τοῦ ἀνθρώπου διὰ τῆς τρο-
φῆς, τριχῶς γίνονται· πρῶτον κατὰ τὸ ποσὸν τῆς δυνάμεως τοῦ ἀρρώστου· δεύτε-
ρον, κατὰ τὸ ποσὸν τοῦ μήκους τῆς ἀσθενείας· τρίτον, κατὰ τὸ ἰδίωμα τῆς ἀσθενείας.
καὶ κατὰ μὲν τὸ ποσὸν τῆς δυνάμεως τοῦ ἀρρώστου, ἐὰν ἡ χρεία καλέσῃ πηγῆς εἰς τὸ
φυλάττεσθαι ταύτην· ἅπερ ὑπάρχει αὐτῇ ἐναντία τῆς νόσου, δίδομεν αὐτοῖς
πλῆθος τροφῆς· τὸ ποσὸν καὶ τοῦ μὴ ἐπιπίπτειν τὴν δύναμιν· καὶ τὸν καιρὸν οὗ τηρεῖ-
ν· ἢ ὥραν τῆς μεταλήψεως τῆς τροφῆς· καὶ ὁ τρόπος τοῦ καιροῦ τοῦ ποσοῦ τῆς
νόσου, δέεται ταύτης τῆς μεθόδου· ἵνα γένηται ἡ τροφὴ κατὰ τὸ μῆκος ἄχρι τῆς ἀκ-
μῆς τῆς νόσου· εἰ μὲν οὖν ἐστιν ἡ ἀκμὴ ἐγγύς, ὡς ὁ τριταῖος καὶ ὁ καῦσος, χρὴ ποι-
τῆς ἀκριβεστάτης διαίτης μέχρι τῆς ἀκμῆς· εἰ δὲ ἡ ἀκμὴ ὑπάρχει μακρά, τρέ-
φομεν ἀρχῆθεν ὀλίγον κατ' ὀλίγον μέχρι τῆς ἀκμῆς· ποιοῦντες καθ' ἡμέραν·
καὶ ἀνερχόμενοι κατὰ τάξιν· ὁ δὲ κατὰ τὸ ποιὸν τῆς νόσου, ὅτι καθολικῶς οἱ
πυρέττοντες εἰς τοὺς ἐκλινικούς, δέονται ψυχρᾶς καὶ ὑγρᾶς οἰκονομίας· καὶ οἱ μὲν
πυρέττοντες ἔχοντες διὰ σαρκὸς ἐλλιπῆ, δέονται τροφῆς πλείστης συχνῶς· ὥστε
πολλάκις τρέφομεν αὐτοὺς ἐν τῇ ὥρᾳ τοῦ πυρετοῦ· ὅσοι δὲ πυρετοὶ μετέχουσι
περιττωμάτων ἐν τοῖς σώμασι, χρὴ ἀποτρέπεσθαι τρέφειν κατὰ πολύ· εἰ μὲν ἐν
τῇ ὥρᾳ τῶν διαλειμμάτων καὶ ἀναμέσον τῶν παροξυσμῶν· ὁ λόγος λοιπὸν ἀποφράξει
τῶν τροφῶν ἐν τοῖς παροξυσμοῖς· εἰ δ' οὐκ ἔχει ὁ παροξυσμὸς ἢ τοιοῦτος πυρετὸς ἄνεσιν
καὶ ἠρεμίαν, καὶ χρῄζομεν τρέφειν τὸν ἄρρωστον, αἱρετέον τρέφειν ἐν τῇ ὥρᾳ
τῆς συνηθείας ἢ προεποιεῖτο τῶν τροφῶν· μάλιστα δὲ ἐν ταῖς πρωϊναῖς ὥραις τῆς
ἡμέρας ταῖς ψυχροτάταις· διὰ τὸ δύνασθαι αὐξῆσαι τὴν φύσιν ἐν ταύταις· καὶ τὸν
ἀέρα καθαρὸν καὶ λεπτόν· τόν τε πυρετὸν ταύτῃ τῇ ὥρᾳ ἀποπαύεσθαι, ἀντιτι-

νοντος τοῦ ψυχροῦ ἀέρος τοῦ πυρετοῦ καὶ ἐναντιουμένου τοῦ τοιούτου ἔξωθεν καὶ ἠρεμοῦντος. δ
τος ὁ λόγος τοῦ σοφωτάτου Γαληνοῦ· ὁποῖον δεῖ εἶναι τὸ ἰδίωμα τῆς τροφῆς τοῦ ἀρρώστου τὸ -
παράπαν, διὰ τὸ μέγεθος τῆς ὠφελείας αὐτῆς· ὑπάρχοντος δὲ τοῦ καύσου πυρετοῦ τοι
ούτου μέχρι τέλους, ἀναγκαῖον ἔχειν λεπτὴν οἰκονομίαν· ὡς προείρηται ἄνω· ψύχας ἀ -
του πεπλυμένας μετὰ σακχάρεως· δίδου δὲ τῷ πάσχοντι ἐν ὥραις τισί, ῥοάν·
καὶ σταφυλὴν χειμωνικὴν καὶ τὸ ζουμὶ τοῦ σύκου· λαμβανέτω δὲ καὶ τὸ γάλα τοῦ
ψυλλίου· τὸ κατασκευασθὲν ἀπὸ τοῦ ὕδατος τοῦ σταφυλίνου πέπονος· καὶ τὸ -
νε τοῦ τὸ στραφθὲν τῶν ἴων· τῶν δαμασκηνῶν· τοῦ ψυλλίου· ἢ τὸ ζουλάπιν τὸ ἐν λίμον·
πινέτω δὲ ἑσπέρας, β ς ∠ ψυλλίου πεπλυμένου μετὰ κρυεροῦ ὕδατος· καὶ ∠ α σπέρ -
ματος ἀνδράχνης· ἢ κοιλίαν ἀρμενιακοῦ μετὰ ὕδατος τῶν ῥόδων· καὶ ∠ ἴσα σακχάρεως
σολομωνιτοῦ τετριμμένου· ἢ ζουλάπι τῶν ἴων· εἰ δὲ ὑπάρχει ἡ φύσις, χαλᾶσαι ταύ -
την πρὶν τῆς ἀναβάσεως τοῦ πυρετοῦ καὶ τῆς τούτου αὐξήσεως· λαβόντα ὕδωρ τῆς
ὀπτῆς κολοκύνθης καὶ ζωμοῦ κριθῆς λί ς΄΄ μαλάσσοντα εἰς αὐτὰ μάννα καὶ κασσίαν θετὰ·
ἀνὰ ∠ ί· καὶ στύψαντα καλῶς, ἐπιτίθεναι ζουλάπι τῶν δαμασκηνῶν, οὐγγ. α ς΄΄· καὶ
ποιοῦντα κλυστῆρα· προστιθέντα καὶ δύο ∠ ἅλας· εἰ δὲ χρεία δυναμῶσαι τὴν
κένωσιν ὀλίγον, πρόσθες εἰς τὸ ἀπόζεμα καλαμονμελανα ∠ ε· καὶ τὸ μάννα
αὐτὸ καταμόνας· πινέτω δὲ ἀπὸ βρέγματος τῶν μελάνων δαμασκηνῶν· τοῦ τεφοι -
νίκος τουτέστιν ἰνδικοῦ μετὰ ζουλαπίου τῶν ἴων· καὶ μάννα· καὶ εἰ περιλυθῇ ἡ κοιλία με -
τὰ τούτων, ποιησάτω ἀπὸ τῶν σαπωνίτων βαλάνοι· διαφυλλώνιον· καὶ νίτρου, ἀνὰ
ς ς΄΄· σκαμμωνίαν ∠ ς΄΄· λυκίου ς α· τοῦτο λυθήτω εἰς ὕδωρ θερμ. τὰ δὲ ἐπι -
ραγδηκότας σκίσας, ἀνάμιξε μετὰ τοῦ λινίου καὶ φυράσας ὁμοῦ, ποίησον ὡς
βαλάνους· καὶ βάπτων εἰς ἔλαιον, ὑπόθες· εἰ δὲ καὶ μετὰ τούτων ἡ φύσις οὐ καθαί -
ρεται, γενέσθω κλυστὴρ μετὰ ὕδατος τῆς περικλονάδος· καὶ τῶν σεύτλων· τουτέστιν ἀ -
ποζέματος τῶν πυτίων, ἀνὰ οὐγγ. β· ζουλαπίου τῶν ἴων τῶν δαμασκηνῶν· ἐ -
λαίου ἀνὰ οὐγγ. α· καὶ ∠ α νίτρου τετριμμένου χλιαίνας ἅμα, χρῶ· σὺν τούτοις ἀπα -
λλάξει δὲ τὸν στόμαχον μετὰ τῶν ψυχρῶν καὶ θερμῶν· οἷ μετὰ τοῦ γάλακτος τοῦ ψυλλίου· με -
τὰ ὕδατος τῶν ῥόδων· μετὰ ὕδατος τοῦ σταφυλίνου πέπονος· εἰ δὲ ὁ στόμαχος κα -
κῶς ἐν τῇ ὥρᾳ τῆς ἀναβάσεως καὶ αὐξήσεως· εἰ μὴ ἄρα ἡ ἀνάγκη κατεπείγει· τοῦ μὴ
καταπεσεῖν τὴν δύναμιν ἐν τῇ ὥρᾳ τοῦ ἀγῶνος· μετ [illegible] τῆς φύσεως, καὶ τῆς νόσου,
ἴασον δὲ ταύτην, διὰ τῆς [illegible] καὶ τῶν πεπλυμένων ψυχίων· καὶ μηδὲ θερμὸν ἐκ -
τούτων· εἰ μὴ ὅσον κρατεῖ τὴν δύναμιν μόνην· εἰ δὲ συμβῇ τῷ νοσοῦντι κεφαλαλ -
γία, λαβὼν ῥόδελαιον λελυμένον μετὰ ὄξους ὀξυτάτου· ἢ μετὰ ὕδατος τῆς ἀνδράχνης·
ἢ μετὰ ὕδατος τοῦ ἀποζέματος τῆς κολοκύνθης, ἀλειφέτω τοὺς κροτάφους καὶ τὸ
μέτωπον· ἢ λαβὼν παλαιὸν ἔλαιον· ἢ τὸ τῆς νυμφαίας σὺν ἀνωμ. μετὰ ῥοδο -
στάγματος καταψύχου εἰς τὸ γάλα τοῦ ψυλλίου, τίθει ἐπὶ τοῦ μετώπου καὶ τῶν μη -
νίγγων· βάλλε δὲ καὶ τὰ γόνατα καὶ τὰ σκέλη μετὰ τῶν ποδῶν, εἰς ὕδωρ θερμ. καὶ ἀλειφ

μετὰ ἐλαίου αὐτά· ὁ δὲ μαλάσσεσθαι τὰς σκληρὰς αὐτῶν μετὰ πάντων· καὶ ἐπιτιθέναι ἔμπλαστρον κατὰ τοῦ μετώπου, σύμμιγμα μετὰ ὀξυσαντάλου· κριθαλέρου· ῥόδων πεφρυγμένων, μετὰ ῥοδοστάγματος ἢ μετὰ ὕδατος τοῦ ἐπὶ τῶν τελευταίων φακοῦ· ἢ μετὰ τοῦ ὕδατος τοῦ ἀποζέματος τῆς κολοκύνθης. ἢ τοῦ ὕδατος τῆς ἀνδράχνης· μετὰ γλοιοῦ τοῦ ψυλλίου· εἰ δὲ καὶ ἄγρυπνος ἐστὶν ὁ ἄρρωστος, προσθετέον τὸ ἔμπλαστρον, κωδίαν φυραμένην μετὰ ὕδατος τῆς θριδακίνης· ὀσφραινέσθω τε τὸ ἔλαιον τῆς νυμφαίας καὶ τῶν ἴων· εἰ δὲ συμβῇ τῷ νοσοῦντι ξηρότης ἐν τῷ στόματι καὶ τραχύτης ἐν τῇ γλώττῃ, κλυζέσθω μετὰ τοῦ ἀποχυλίσματος τοῦ ψυλλίου· καὶ τοῦ γλοιοῦ τῶν κόκκων τῶν κυδωνίων· πινέτω δὲ τὸ ἀποχύλισμα τοῦ ψυλλίου καὶ τῶν κόκκων τῶν κυδωνίων μετὰ σακχάρεως καὶ ἐλαίου· εἰ δὲ ἔχει ἡ γλῶττα μελανίαν, μιγέτω μετὰ τούτων τῶν γλοιῶν, τὸ ῥοδόσταγμα· ῥοδέλαιον· καὶ μαλαχθήτω ἡ γλῶττα, κρατείτω δὲ ἐν τῷ στόματι ὕδωρ τῶν γλυκυτάτων ῥοῶν μετὰ ῥοδελαίου· εἰ δὲ πάλιν συμβῇ τῷ ἀρρώστῳ ξηρότης κοιλίας, διυλιζέσθω ὁ γλοιὸς τοῦ ψυλλίου τοῦ κατὰ [illegible] καὶ [illegible] ὕδωρ σικύου καὶ πινέτω μετὰ ζουλαπίου τῶν ῥοῶν· ἢ τῆς ὀμφακίνης σταφυλῆς· ἢ τοῦ ὀξυνοῦ τοῦ κίτρου· καὶ ἐπὶ τοῦ στομάχου τιθέτω, ἔμπλαστρον σύμμιγμα διὰ τῶν δ΄ σαντάλων καὶ κριθαλέρου φυραμένων μετὰ ῥοδοστάγματος· ἢ λαθὼν φακοῦ τοῦ ἐπὶ τῶν τελευταίων ἀνδράχνης· γλοιὸν ψυλλίου· ὕδωρ τοῦ ἀποζέματος τῆς κολοκύνθης ἀνάμιγε μετὰ ῥοδελαίου καὶ ῥοδοστάγματος καὶ τίθει κατὰ τοῦ στομάχου καὶ τοῦ ἥπατος· ὁπηνίκα ὁ στόμαχος κενὸς ὑπάρχει· πινέτω δὲ τὸ ἄλευρον τῆς πεφρυγμένης κριθῆς μετὰ σακχάρεως ἢ τζουλέβιν· ἢ ῥοδαγγούρια· τρεφέσθω δὲ διὰ τῆς κολοκύνθης τῆς γινομένης μετὰ ὕδατος ὀμφακοῦ· καὶ τοῦ ὀξυνοῦ τοῦ κίτρου τῶν τε στελεχῶν τῆς ἀνδράχνης, φημὶ τῶν κλάδων· ἐσθιέτω δὲ καὶ φακῆν καθαριζομένην μετὰ κολοκύνθης καὶ σακχάρεως· καὶ τὸ ἀπόζεμα τοῦ ὀμφακίου· ἔσωθεν δὲ περὶ [illegible] ἐνώπιον τοῦ ἀρρώστου μιγνύναι ἰτέαι καὶ ῥόδα· ἐπιρραινέτω πάντα τὰ ὕδωρ ῥόαν καθαράν· πλειστάκις δὲ συμβαίνει ἐν τούτῳ τῷ πυρετῷ, φρενῖτις· βηχίον τε ξηρὸν καὶ λειποθυμία καὶ ἴκτερος· εἰ δὲ ταῦτα συμβῇ, ἀρκοῦσιν τὴν θεραπείαν αὐτῶν καὶ τὴν ὠφέλειαν [illegible] οἰκονομίαν, ἐν τῷ ἰδίῳ [illegible] ἐν ταύτῃ τῇ βιβλίῳ:

κεφ. [illegible] περὶ τριταίου πυρετοῦ:

Ἐπειδὴ διαλείπουσαν, τῇ ἑτέρᾳ ἐπιρρέουσιν ἀμφημερινῶς ἐν τῷ [illegible] φησὶν ὁ Ἱπποκράτης· οἱ τριταῖοι διὰ [illegible] παροξύνονται καὶ διὰ [illegible] τὸ ῥῖγος. [illegible] οὐδὲν γὰρ [illegible] λέγει ὁ Ἱπποκράτης· [illegible] μηδέποτε ἀκηκοέναι τοῦ λόγου τούτου, θαυμαστὸν [illegible] εἶναι· ἅμα δὲ κρίσει λέγει ῥῖγος· ἢ τὸ γινόμενον ἐν τοῖς μερικοῖς παροξυσμοῖς τοῦ τριταίου· ἢ τὸ γινόμενον ἐν τῇ κρίσει· τουτέστι τὸ κριτικὸν ῥῖγος· ὅπερ γίνεται ἐπὶ τοῦ καύσου ὅτε καὶ ἱδρῶτες προχέονται· οἷαν οὖν [illegible] εἶναι· [illegible] λέγει τριτοφυῆ πυρετόν· ἐν ταῦτα οἱ ἐμπειρικοὶ καὶ οἱ μεθοδικοὶ περὶ τοῦ [illegible] λέγουσιν, ὅτι ὁ ἀκριβὴς

τριταῖος, τὸ μέγιστον κατέχει ιβ ὥρας· ὁ δὲ κατέχει ιη ὥρας, μικρὸς λέγεται καὶ ὁ τριταῖος·
ὁ δὲ κδ, μέσος καὶ ὁ τριταῖος καλεῖται· οὕτω δὲ τὸ λεγόμενον· ἀλλ' ὅτι ὁ μὲν τριταῖος, τὸ μικρό—
στον, ὡς εἰς ιβ ὥρας παρατείνει· ὁ δὲ μέχρι ιη ὡρῶν ἐκτείνων, ἁπλῶς τριταῖος καλεῖται·
ὁ δὲ ἕως κδ ἐκτεινόμενος τριταῖος· καὶ ἐπὶ πλέον μέχρι μ· πολλάκις δὲ κατέχει λς ὥ—
ρας· καὶ ὅταν ἄρξηται ἡ νὺξ τῆς δευτέρας ἡμέρας, μετὰ πυρεξίας γίνεται· ἀλλ' οὐ τελεί— λέγεται
ἀλλ' ἀτελέως γίνεται πάλιν, ἐπεὶ ὁ παροξυσμὸς γίνεται· ἐπὶ δὲ τῶν διαλειπόντων παρο—
ξυσμῶν, κρατοῦν ἐστὶν ὥρας δύο ἢ τρεῖς καταλιμπάνει· ἢ παντελῶς φυλάττει συνε—
χεῖαν· οὕτω γὰρ φησὶν ἐν ἀφορισμοῖς· πυρετοὶ ὅτῳ ἂν τρόπῳ διαλείπωσι, σημαίνει
ὅτι ἀκίνδυνοι· ἐπὶ δὲ τῶν συνεχόντων μετὰ ἀπυρεξίαν, ἀλλ' ἀτελῶς τῆς μετὰ ἀπυρεξίας, ἄρχεται
ἡ φύσις πάλιν ἀπρεπίζεσθαι ἐπὶ ἕτερον παροξυσμόν· ἐν τῷ ἀθροίζεσθαι χυμός, ἀ—
ναλύεται πυκνότατα γίνεται· συντάσεις ῥιγασμοί· καὶ τοῦτο ἔλεγεν Ἱπποκράτης· ὁ
κόσμος μέλλει κρίσις γίνεσθαι, τουτέστιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ· ὁ δ' ἀ—
παυστος πυρετὸς καὶ καθημερινὸς ὁ μὴ διαλείπων ἐκτὸς ῥίγους, ἀπὸ χολῆς τὴν γέννησιν
ἔχει· ἡ γ' ἐστὶν ἐν τοῖς τῶν φλεβῶν καὶ τῶν ἀρτηριῶν ἡ σῆψις· καὶ λέγεται συνεχὴς τριταῖος,
διὰ τὸ ἀπὸ μιᾶς αἰτίας καὶ ἀφορμῆς γεννᾶται· ἤγουν ἀπὸ ξανθῆς χολῆς· καθὼς πάντες
ἐν τοῖς διαλείμμασι τοῦ ῥίγους τοῦ τριταϊκοῦ, ἐντὸς ἐπείγεται ἡ σῆψις τῶν φλεβῶν καὶ
τῶν ἀρτηριῶν· κατέχει δὲ ὥρας ιβ· καὶ ἀφίησιν κδ· καὶ ἄμφω ἀπὸ ξανθῆς χολῆς τὴν
γένεσιν ἔχουσι· σκοπητέον οὖν τὸν συνεχῆ τριταῖον, μὴ παραλαβὼν ὅτι ὁ τι ἐστὶ σύνοχος·
ὀξύς ἐστι συνεχὴς διόλου, καὶ ἐστὶν ἀπὸ αἵματος· ὁ μὲν τοιοῦτος πυρετός, καλεῖται τριταῖος·
φύεται δὲ ἀπὸ χυμοῦ χολώδους μεταξὺ ἐπιπολῆς καὶ σύμπτωσις· ἡ δὲ ἐστὶν αὐτῆς ἡ σῆψις ἔσω
τῶν ἀγγείων· ἤγουν τῶν φλεβῶν καὶ ἀρτηριῶν, γεννᾷ συνεχῆ τριταῖον· ὁ πυρετὸς καῦσον χω—
ρὶς ῥίγους· ὅτε δὲ ἐστὶν ἔξω τῶν φλεβῶν καὶ τῶν ἀρτηριῶν ἡ χολή· ἤγουν εἰς τὰ κοῖλα τοῦ στο—
μάχου καὶ τῶν ἐντέρων, γεννᾷ τὸν διαλείποντα πυρετὸν μετὰ ῥίγους· τὸν λαμβάνοντα
καὶ ἀφιέντα· εἰ δὲ λέγει τις μετὰ ποίου χυμοῦ συμφωνεῖ, ὁ καυσώδης πυρετὸς ὁ συνεχής·
καὶ μετὰ ποίου ἐναντιοῦται, λέγομεν· ὅτι συμφωνοῦσι μέν, διότι συμβαίνουσιν
ἀπὸ χυμοῦ ὀξέος χολώδους· καὶ ὅτι εἰσὶν ἐντὸς τῶν φλεβῶν καὶ τῶν ἀρτηριῶν· καὶ ὅ—
τι ὑπάρχουσι συνεχεῖς· ἡ δὲ διαφορὰ ἀμφοτέρων, ἀπὸ τοῦ τόπου γνωρίζεται· ἐν ᾧ
ἐπισωρεύεται ἡ χολὴ καὶ γεννᾷ τὸν πυρετόν· ἐπειδὴ ἡ συμβαίνουσα ἐκφλόγωσις ἐν
τῷ καύσωνι πυρετῷ, ὑπάρχει σῆψις ἐν ταῖς φλεψὶ ταῖς πλησιαζούσαις τῇ καρ—
δίᾳ· καὶ μάλιστα ταῖς τοῦ στόματος τοῦ στομάχου· τουτέστιν ἥπατος, καὶ ταῖς ἀρτηρίαις· ἐν
ταύταις γὰρ πλέον τῶν φλεβῶν παντὸς τοῦ σώματος ἡ σῆψις ἐπείγεται· διὸ εἰκότως —
ἐστὶν ἡ σῆψις καθὼς ὑπεδείξαμεν πρότερον· ἐν δὲ τῷ συνεχεῖ πυρετῷ τῷ τριταίῳ, ὑ—
πάρχει ἡ ἐκφλόγωσις ἡ διὰ παντὸς ὁμαλή, ἐν πάσαις ταῖς φλεψὶ τοῦ σώματος· καὶ τὸ
ἴσον ταύτης εἰς τὰ ἀγγεῖα τὰ ὁμαλῶς τὰ τῇ καρδίᾳ· σημειωτέον δὲ τὸν τριταῖον πυρετὸν
διὰ τριῶν τινῶν· πρῶτον, ἐκ τῶν κατὰ φύσιν ὄντων· δεύτερον, ἐκ τῶν παρὰ φύσιν·
τρίτον, ἐκ τῶν ἔξω φυσικῶν· καὶ τῶν μὲν ἐκ τῶν κατὰ φύσιν ὄντων, σημειωτέον ὅτι περ

ὑπάρχει ἡ γέννησις αὐτοῦ, πλὴν εἰ τύχῃ τὴν κρᾶσιν ἔχοντα θερμὴν καὶ ξηράν. καὶ ἡλικίαν ἀπὸ
εἰκοσαέτους μέχρι λε΄. μάλιστα δὲ εἰ καὶ τὸ σῶμα ἰσχνὸν κέκτηται. εἰ δὲ καὶ τοῦ τοιούτου οἱ πόροι
μανοί, τουτέστιν ἀραιοί. αἰτιᾶται δὲ ἔχων τὸ σῶμα τὸ ἀραιόν· κενοῦται διὰ ἱδρώτων καὶ
ἀτμῶν. καὶ ποιεῖ τὸ σῶμα ἰσχνὸν καὶ πυρῶδες. τὰ δὲ σημεῖα τούτου πάλιν ἐκ τῶν πα-
ραφύσιν, ὅτι ἡ πλείων γέννησις αὐτοῦ, ἐν καιρῷ θέρους· ἢ μάλιστα εἴπερ καὶ ἡ κατάστασις
τοῦ περιέχοντος ἀέρος ἢ καιροῦ, θερμὴ καὶ ξηρά. καὶ ἡ κρᾶσις τῆς χώρας αὖθις θερμὴ
καὶ ξηρά. καὶ ἡ ἀναστροφὴ τοῦ νοσοῦντος ὅταν [illegible] ἢ, [illegible] ἢ μόχθους, τὸ δὲ τεκ-
μαίρεσθαι ἀπὸ τῶν ἔξω τῆς φύσεως τὸν τριταῖον, ἐστὶν ἐκ τῶν συμπτωμάτων τῶν συμ-
βαινόντων τῷ ἀρρώστῳ. ἅτινα εἰσὶ σημεῖα τῷ ἰατρῷ. καὶ τοῦ νοσοῦντος σύμπτωμα·
τοιγαροῦν ὑπάρχει ὁ τοιοῦτος πυρετὸς γενόμενος ἐξ ὕλης ὀξύτητος, προσομιλοῦ-
σης τοῖς αἰσθητικοῖς μέλεσι. προηγεῖται δὲ φρίκη δυσαχθὴς κεντῶσα τὸ σῶμα παντο-
μερῶς θερμῇ ἢ κεντρικῇ [illegible] καὶ διὰ τοῦτο εἶναι τὴν ξανθὴν χολὴν ὀξυ-
τάτην ἐπὶ τὰ αἰσθητικὰ μέλη [illegible] πρὸς συνάψαι· ἀλλ' ἐκκέχυται
ἐπαύξοντα ἡ χολὴ διὰ τῆς δριμύτητος αὐτῆς δάκνουσα καὶ νύττουσα, ποιεῖ ὡς ἐκ [illegible]
ξεως φρίκην. γίνεται δὲ τοῦτο ὁπηνίκα ὑπάρχει ἡ ὕλη ἐκτὸς τῶν φλεβῶν. παρακολου-
θεῖ δὲ τούτῳ τῷ πυρετῷ, ἔμετος χολώδης. καὶ κένωσις [illegible] ὠχρᾶς μάλιστα ἐν
τῇ τρίτῃ περιόδῳ ἢ τῇ τετάρτῃ. τὰ δὲ οὖρα αὐτῶν, ἐρυθρὰ πάνυ καὶ ἐλαφρά. οὗ-
τος δὲ ὁ πυρετὸς ἐστὶ δριμύς. ἡ νύττει τὸ πῦρ διὰ τὸ [illegible] τὴν χολὴν ἐν τῷ πα-
τί. εἴπερ οὖν ὑπάρχει ὁ τοιοῦτος πυρετὸς ἀκριβής, τουτέστι καθαρὸς ἐξ ἑτέρας ὕλης.
μόνον δὲ ἀπὸ ξανθῆς χολῆς, κρατεῖ ὥρας ιβ΄ ἢ ἡμέρας λς΄· λύεται δὲ ἐν ἑπτὰ περι-
όδοις τὸ μακρότατον· ἤγουν ἐν ἡμέραις ιδ΄. εἰ δὲ πλέον τῶν ιβ΄ ὡρῶν, ἀκμάζει
ἔσται καὶ πλειόνων ἑπτὰ περιόδων· δηλονότι ὡς οὐκ ἔστιν ἀκριβής. εἰ δ' οὐκ ἔστιν ἀκρι-
βὴς ἀλλ' ἔστιν ἀναμεμιγμένη μεθ' ἑτέρας ὕλης, ἐξέρχεται ὁ τοιοῦτος τριταῖος πυρετὸς
ἐκ τοῦ τόπου τοῦ ὁροθεσίου αὐτοῦ, καὶ μηκύνει ἡ διαμονὴ αὐτοῦ. ὡς γε πολλάκις ἀρ-
χόμενος ἀπὸ τοῦ φθινοπώρου, λήγει ἕως τὸ ἔαρ. οὗτος δὲ ὁ πυρετός, πλέον ὑπάρχει σφα-
λερώτατος ὑπὲρ τῶν λοιπῶν πυρετῶν· τῶν ὄντων ἀπὸ σήψεως. καὶ πλησιέστερος εἰς
φόβον. καὶ δεῖ τὸν ἰατρὸν ἀποφεύγειν τὴν χρῆσιν τῶν θερμῶν πραγμάτων. μήποτε ἀνέλ-
θῃ ἡ ξανθὴ χολὴ ἐν τῷ κεφαλῷ διὰ τῆς ὀξύτητος αὐτῆς, καὶ συμβῇ ἐν αὐτῷ οἴδημα
καὶ γεννηθῇ φρενῖτις ἐν τῷ ἀρρώστῳ· ἥτις ἐστὶ μεγίστη συμφορὰ καὶ βλάβη, καὶ πόνος.
καὶ διὰ τὸ εἶναι τὴν χολὴν [illegible] καὶ ἄστατον καὶ ἐλαφράν, οὐχ ὑποφέρει τὸ σφάλμα
τῶν νοσούντων, οὔτε ἰδιώτην ἰατρὸν οἰκονομοῦντα αὐτήν, ἀλλὰ δεῖ θεωρεῖν τὸν ἰατρὸν
τὴν ἀρχὴν τῆς νόσου. καὶ εἰ ἐστὶν ἡ δύναμις τοῦ ἀρρώστου καλὴ καὶ ἀθλητή· καὶ οἱ χυ-
μοὶ ἐν τῷ σώματι κινούμενοι. γνῶσις δὲ τὴν κίνησιν τῶν χυμῶν, εἴπερ ἐστὶ βορβορυγμοὶ
ἐν τοῖς ἐντέροις. καὶ ἐν τῇ κοιλίᾳ ἀνατροπὴ τοῦ στομάχου καὶ πικρότης στόματος καὶ κε-
φαλαλγίαι, δεῖ κενοῦν τὸν ἄρρωστον. καὶ τοῦτο ποιεῖν ἐξ ἀρχῆς ὅταν ἴδῃς τὴν δύνα-
μιν ἐνεργοῦσαν, καὶ κινοῦνται οἱ χυμοί. κενοῦν δέ, διὰ τοῦ ἐμέματος [illegible]
[illegible].

Kraus
Nov. 1957

The XVII^th cent. description is bound in after leaf 39



